ἀμφίπολος, ον, (πέλω, πολέω) ὁ εὑρισκόμενος, ὁ περιῶν τινὸς διατελῶν, ὁ ἀσχολούμενος περί τι, πολυάσχολος, ἐπίθ. τῆς Κύπριδος Σοφ. Τρ. 860: — ἀλλὰ παρ' Ὁμ. καὶ Ἡροδ. μόνον ὡς θηλ. οὐσιαστ. = ὑπηρέτρια, θεραπαινίς, ὅμοιον τῷ θεράπαινα, κατ' ἀντίθεσιν πρὸς τὰς κοινὰς δούλας, αἵτινες ἑκαλοῦντο (ὁμωαί, δοῦλαι): ἐν Ὀδ. αἱ **ἀμφίπολοι** εὑρίσκονται ἐν τῇ ἀκολουθίᾳ τῆς δεσποίνης, Α. 331, Ζ. 199, κτλ.· οὕτω: λάβετ', ἀμφίπολοι γραίας ἀμενοῦς Εὐρ. Ἰκ. 1115: — παρ' Ὁμ. ἐνίοτε συνδυάζεται μετ' ἄλλου οὐσιαστ., ἀμφ. ταμίη, ἀμφ. γραῦς, ἡ οἰκονόμος, ἡ γραῖα θεράπαινα, Ἰλ. Ω. 302, Ὀδ. Α. 191. **6)** μετέπειτα, θεραπαινὶς τῶν θεῶν, ἱέρεια, θεᾶς Εὐρ. Ι. Τ. 1114. **2)** ὡς ἀρσ., ὑπηρέτης, ἀκόλουθος, Πινδ. Ο. 6. 53, Εὐρ. Ἀποσπ. 982. **3)** ἀρσ. ἱερεύς, Πλουτ. σύγκρ. Δημητρ. καὶ Ἀντ. 3, Συλλ. Ἐπιγρ. 1839· θηλ. ἱέρεια, αὐτόθι 6300. **II.** ἐπὶ παθ. σημασ. ὡς ἐπίθ., ἀμφ. τύμβος, ὁ λίαν συχναζόμενος τάφος, Πινδ. Ο. 1. 149.

ἀμφιπονέομαι, ἀποθ., (πονέω) ὑπηρετῶ τινι, φροντίζω περί τινος, τάδε δ' ἀμφιπονησόμεθ' Ἰλ. Ψ. 159· κείνου κεφαλήν .. Ἥφαιστος .. ἀμφεπονήθη, περὶ ἐπικηδείου πυρᾶς, Ἀρχίλ. 11.

ἀμφιπόρφυρος, ον, ὁλοπόρφυρος, Σχολ. εἰς Εὐρ. Ὀρέστ. 1439.

ἀμφιποτάομαι, ἀποθ., περίπταμαι, ἐπὶ πτηνοῦ, ἀμφεποτᾶτο Ἰλ. Β. 315.

ἄμφιπποι, ων, οἱ, ἱππεῖς ἀποπηδῶντες ἐν τῷ τρέχειν ἐξ ἑνὸς ἵππου εἰς ἕτερον, Λατ. desultores Αἰλ. Τακτ. 37.

ἀμφιππο-τοξόται, οἱ, ἐλαφρὸν ἱππικόν, ταυτόσημον τῷ **ἀμφίπποι,** ἀλλ' οἱ ἀμφιτοξόται εἶχον καὶ τόξα, Διόδ. 19. 29 (μετ' ἄλλων γραφῶν ἀφ- ἢ ἐφιπποτοξόται) Πλούτ. 2.197C.

ἀμφιπρόστυλος, ον, ὁ ἔχων διπλοῦν πρόστυλον, δηλ. ναὸς ἔχων πάντα ὅσα καὶ οἱ πρόστυλοι, ἐκτὸς δὲ τούτου ἐν τῷ ὀπισθοδόμῳ ὡσαύτως κίονας καὶ ἀέτωμα, Βιτρούβ. 3. 1 (2).

ἀμφιπρόσωπος, ον, ὁ ἔχων διπλοῦν πρόσωπον, διπρόσωπος, Λατ. bifrons, Ἐμπεδ. 214, Πλουτ. Νουμ. 19, Αἰλ. π. Ζ. 16. 29.

ἀμφίπρυμνος, ον, ὁ ἔχων δύο πρύμνας, ὅ ἐ. ἔχων πηδάλιον ὄπισθεν καὶ ἔμπροσθεν, ναῦς Σοφ. Ἀποσπ. 135: ὡσαύτως **ἀμφίπρῳρος, ον,** ὁ ἔχων δύο πρῴρας, Γαλην.: πρβλ. **δίπρῳρος.**

ἀμφι-πτολεμο-πηδησί-στρατος, ον, λέξις κωμ. τοῦ Εὐπόλιδος (Ἄδηλ. 70) ἀσαφοῦς σημασίας.

ἀμφίπτολις, ποιητ. ἀντὶ **ἀμφίπολις.**

ἀμφιπτύσσομαι, μέσ., ἐναγκαλίζομαι, περιπτύσσομαι, Ὀππ. Ἁλ. 4. 289· ἐν τμήσει.

ἀμφιπτυχή, ἡ, περίπτυξις, ἐναγκαλισμός, σώματος δὸς ἀμφιπτυχὰς Εὐρ. Ἴων 519.

ἀμφιπυκάζω, περιπυκάζω, περισκέπω, Ἀπολλιν. Ψαλμ. 60. 8.

ἀμφίπῡλος, ον, ὁ ἔχων δύο εἰσόδους, Εὐρ. Μήδ. 135.

ἀμφίπῡρος, ον, (πῦρ) ὁ ἔχων πῦρ εἰς ἑκάτερον ἄκρον, ἐπὶ τοῦ διπλῆν ἔχοντος αἰχμὴν κεραυνοῦ, Εὐρ. Ἴων 213· δειράδες. Παρνασσοῦ .., ἵνα Βάκχιος ἀμφιπύρους ἀνέχων πεύκας .. πηδᾷ, ἐν ἀναφορᾷ πρὸς τὰς δύο κορυφὰς τοῦ Παρνασσοῦ (πρβλ. **δίλοφος, δικόρυφος**), αὐτόθι 716· οὕτως ἐν Σοφ. Τρ. 214, ἐπίθ. τῆς Ἀρτέμιδος ὡς φερούσης πυρσὸν ἐν ἑκατέρᾳ χειρί, πρβλ. Ο. Τ. 206. **II.** ὁ περιβαλλόμενος ὑπὸ πυρός, τρίποδες Σοφ. Αἴ. 1405 (πρβλ. **ἀμφιβαίνω II.**).

ἀμφιριφές, «ἑκατέρωθεν ῥιπτόμενον» Ἡσύχ.

ἀμφιρόν, «ἀμφορία» Ἡσύχ.

ἀμφιρρέζω, καταθύω, σφάττω, Ἀπόλλιν. Ψαλμ. 26. 15.

ἀμφιρρεπής, ές, (ῥέπω) κλινῶν κατ' ἀμφότερα, ἀμφίρροπος, Σχόλ. εἰς Ὀρ. 633 καὶ ἀλλ.: τὸ ἀμφίρροπον, τὸ ἀμφίβολον, Εὐστ. 1394.18. — Ἐπίρρ. **-πῶς,** ὁ αὐτ. 200.

ἀμφιρρήγνῡμι, διαρρηγνύω ὁλόκληρον εἰς τεμάχια, ἀόρ. 6' παθ. **ἀμφιραγείς** Κόϊντ. Σμ. 1. 39.

ἀμφιρρηδής = **περιρρηδής,** ὁ ἴδε.

ἀμφίρροπος, ον, = ἀμφιρρεπής, Πολύαιν. 2. 1, 23.

ἀμφιρρῶξ, ῶγος, ὁ, ἡ, ὁ πανταχόθεν ἐρρωγώς, ὁ πλήρης ῥωγμῶν, Ἀπολλ. Ρόδ. Α. 995.

ἀμφίῤῥῡτος, η, ον, καὶ **ος, ον,** (ῥέω) ὁ πανταχόθεν περιῤῥεόμενος, ὁ ὑπὸ τῆς θαλάσσης περιβαλλόμενος, ἐν Ὀδ. ἀείποτε θηλ. **ἀμφιῤῥύτη** ὡς ἐπίθ. νήσων, ἐν Α. 50· οὕτω τῆς ἀμφιῤῥύτου Σαλαμῖνος Σοφ. Αἴ. 134: — **ἀμφίῤῥυτος, ον,** (μετὰ διπλοῦ ῥ) Ἡσ. Θ. 983, Χρησμ. παρ' Ἡροδ. 4. 163, 164, Πίνδ., κτλ.

ἀμφίς, Ἐπ. λέξις ἐν χρήσει καὶ παρὰ Πινδ., ἀλλ' οὐδέποτε παρ' Ἀττ., κυρίως = **ἄμφι,** ὡς τὸ **μέχρι** = **μέχρι,** ἀλλὰ πρὸ πάντων ἐν χρήσει ὡς ἐπίρρ.: **1)** ἐπ' ἀμφοτέρων τῶν μερῶν ἢ κατ' ἀμφότερα τὰ μέρη, ἀμφὶς ἀρωγοί = βοηθοὶ καὶ εἰς τὰ δύο μέρη, Ἰλ. Σ. 502, πρβλ. 519· ὁ δ' ἀμαρτῇ δούρασιν· ἀμφὶς [βάλεν], ἔρριψε δόρατα δι' ἀμφοτέρων τῶν χειρῶν ὁμοῦ, Ἰλ. Φ. 162. **2)** ἐν γένει, περιῤῥ., ὁλόγυρα, ἀμφὶς ἑόντες Ἰλ. Ω. 488· ἀμφὶς ἰδών, κυττάξας ὁλόγυρα, Ἡσ. Ἔργ. κ. Ἡμ. 699, (ἴδε κατωτέρ. Β. Ι)· δεσμοί .. ἀμφὶς ἔχοιεν, εἴθε δεσμοὶ νὰ περιβάλλωσιν, Ὀδ. Θ. 340· ἀλλά, σεῖον ζυγὸν ἀμφὶς ἔχοντες, ἔχοντες αὐτὸν εἰς ἀμφοτέρας τὰς πλευράς, Γ. 486, σιδηρέῳ ἄξονι ἀμφίς, ἑκατέρωθεν, Ἰλ. Ε. 723. **II.** ἐκ τῆς ἐννοίας τῶν δύο πλευρῶν ἢ μερῶν πηγάζει ἡ τῆς διαιρέσεως, χωρίς, δίχα, χωριστά, κεχωρισμένως, γαῖαν καὶ οὐρανὸν ἀμφὶς ἔχειν, ἔχειν τὸν οὐρανὸν κεχωρισμένον ἀπὸ τῆς γῆς, Ὀδ. Α. 54· ἀμφὶς ἐέργει, διείργει, χωρίζει, Ἰλ. Ν. 706· ἀμφὶς ἔαγη, περιεκλάσθη εἰς δύο τεμάχια, Λ. 559· ἀμφὶς μένον Ο. 709· οὐ γὰρ ἔτ' ἀμφὶς ... ἀθάνατοί φράζονται, οὐκέτι γὰρ διχογνωμονοῦσι, διάφορα φρονοῦσι (Σχολ.), Β. 13: ἀμφὶς φρονέοντε, διάφορα καὶ κεχωρισμένα φρονοῦντες, Ν. 345· εἰρήσεται ἀμφὶς ἕκαστα, θὰ ἐρωτήσῃ χωριστὰ διὰ κάθε πρᾶγμα κατὰ σειράν, τὸ ἓν μετὰ τὸ ἄλλο, Ὀδ. Τ. 46. — Πρβλ. **ἀμφὶ** Ε. 2, **χωρὶς** Ι. 2. **III.** τὴν ἔννοιαν τοῦ **μεταξὺ** ἀποδιδομένην εἰς τὸ **ἀμφὶς** ἐν Ἰλ. Γ. 115, Η. 342, ἀπορρίπτει ὁ Βουττμ. ἐν Λεξιλ. ἐν λ. 9, ὁ ὁποῖος εἰς ἀμφότερα τὰ χωρία ἑρμηνεύει **πέριξ, ὁλόγυρα.**

Β. σπανιώτερον ὡς πρόθ. ὡς τὸ **ἀμφί,** **I.** μ. γεν. πέριξ, ἅρματος ἀμφὶς ἰδών, «περισκεψάμενος» (σχόλ.), ἀκριβῶς παρατηρήσας αὐτὸ πανταχόθεν, Ἰλ. Β. 384. **2)** χωριστὰ ἀπό, μακρὰν ἀπό, ἀμφὶς ἐκείνων Ὀδ. Ξ. 352· Διὸς ἀμφίς, τοῦ Διὸς χωρίς, Ἰλ. Θ. 444· ἀμφὶς φυλόπιδος «ἰδία καὶ χωρὶς καὶ πόρρω τῆς μάχης» (Εὐστ.), Ὀδ. Π. 267· ἀμφὶς ὁδοῦ «χωρὶς καὶ ἔξωθεν τῆς ὁδοῦ» (σχόλ.), Ἰλ. Ψ. 393· ἀμφὶς ἀληθείης Παρμεν. 110 Karst.· ὡσαύτως, ἐσθᾶτος ἀμφίς, ἐν Πινδ. Π. 4. 450· κατὰ τὸν Βουττμ., ἄνευ ἐνδυμάτων, κατὰ δὲ τὸν Βοίχχιον = **ἄμφι,** χάριν ἢ ἕνεκα. ἐσθῆτος ὡς ἐπάθλου. — Ἐνίοτε ἀκολουθεῖ καὶ ἄλλοτε προηγεῖται τῆς γενικῆς.

II. μετ' αἰτ. πέριξ, ὁλόγυρα, ἀείποτε δὲ μετὰ τὴν ἐξ αὐτοῦ ἐξαρτωμένην λέξιν, Κρόνον ἀμφὶς ἑόντες, οἱ περὶ τὸν Κρόνον ὄντες, Ἰλ. Ξ. 274· Ποσειδήϊον ἀμφίς, πέριξ, κύκλῳ, Ὀδ. Ζ. 266, πρβλ. Ι. 400.

ἄμφις, ὁ, εἶδος οἴνου, ἴδε **ἀμφίας.**

ἀμφισαλεύομαι, παθ. περισαλεύομαι, σαλεύομαι πανταχόθεν, Ἀνθ. Ἱ. 5. 55.

ἀμφίσβαινα, ης, ἡ, (βαίνω) εἶδος ὄφεως δυναμένου νὰ ἕρπῃ πρός τε τὰ ἔμπροσθεν καὶ πρὸς τὰ ὀπίσω, Αἰσχύλ. Ἀγ. 1233, Νικ. Θ. 372. Ὁ δὲ Ἡσύχ. λέγει: «εἶδος ὄφεως μακροκέφαλον, ἰσόπηχυ, τὴν οὐρὰν κολοβὴν ἔχον καὶ ταύτῃ πολλάκις τὴν πορείαν ποιούμενον, ὥστε τινὰς ἀμφισβητεῖν μὴ δύο κεφαλὰς ἔχειν· λέγεται δὲ καὶ διὰ τοῦ μ ἀμφίσμαινα.»

ἀμφισβᾰσίη, ἡ, Ἰων. ἀντὶ **ἀμφισβήτησις**, ἐς ἀμφισβασίας ἀπικέσθαι τινί, ἔρχεσθαι εἰς ἀμφισβητήσεις πρός τινα, Ἡρόδ. 4. 14· τῶν δὲ αὖτις ἐγίνετο λόγων ἀμφ. ὁ αὐτ. 8. 81· οὕτως ἐν Ἐπιγραφ. Πριήν. ἐν τῇ Συλλ. Ἐπιγρ. 2905Β. 6.

ἀμφισβᾰτέω = **ἀμφισβητέω** Ἡρόδ. 9. 74, εἶναι δὲ γραφὴ τοῦ Γαισφόρδου, ἣν παρεδέχθησαν καὶ ἄλλοι ὡς ὑποστηριζομένην ἐκ τῆς ἀναλογίας τῆς λέξ. ἀμφισβασίη ἐν 8. 81· ἀλλ' ἐν 4. 14 πάντα τὰ χειρόγρ. ἐκτὸς ἑνὸς ἔχουσιν **ἀμφισβητέειν**· — **ἀμφισβατέειν** ὅμως ἀναφέρει ὁ Ὠριγένης.

ἀμφίσβᾰτος, ον, = **ἀμφισβήτητος**, Ἑλλάνικ. 177.

ἀμφισβησίη, ἡ, διάφορ. γραφ. παρ' Ἡροδ. ἀντὶ **ἀμφισβασίη**. Ἴδε Θησ. Στεφ. ἐν λέξει.

ἀμφισβητέω: παρατ. **ἠμφισβήτουν** ἢ **ἠμφεσβ-**: μέλλ. **-ήσω**: ἀόρ. **ἠμφισβήτησα** ἢ **ἠμφεσβ-**: — Παθ., μέλλ. κατὰ μέσ. τύπον **-ήσομαι** Πλάτ. Θεαίτ. 171Β: ἀόρ. **ἠμφισβητήθην** ἢ **ἠμφεσβ-**. Περὶ τῆς ἁπλῆς ἢ διπλῆς αὐξήσεως, ὡς πρὸς τὴν ὁποίαν τὰ ἄριστα χειρόγραφα τοῦ αὐτοῦ συγγραφέως ποικίλλουσιν, ἴδε Veitch Ἑλλ. Ῥήματα ἐν λ. Ῥῆμά τῆς Ἀττ. πεζογρ. δὶς ἐν χρήσει παρ' Ἡροδ. ὑπὸ τὴν Ἰων. μορφὴν **ἀμφισβατέω**, πρβλ. Ἐπιγρ. Πριήν. ἐν τῇ Συλλ. Ἐπιγρ. 2985Β. 6, Μυτιλ. αὐτόθι 2166. 20. (Ἐκ τῆς √**ΒΑ**, ἴδε **βαίνω**). Κατὰ λέξιν ὑπάγω χωριστά, ἵσταμαι χωριστά, διίσταμαι, ἑπομ. = διαφωνῶ πρός τινα, ὁ ἕτερος τῶν λόγων, τῷ πρότερον λεχθέντι ἀμφ. Ἡρόδ. 9. 74. **6**) ἀπολ. διαφωνῶ, φιλονεικῶ, συζητῶ, ἐρίζω, διαφέρομαι, Λατ. altercari, ὁ αὐτ. 4. 14, καὶ Ἀττ. περί τινος Ἀνδοκ. 4. 38, Ἰσοκρ. 44D, Πλάτ. Πρωτ. 337Α, Συλλ. Ἐπιγρ. 73. 5 καὶ ἀλλ.: ὑπέρ τινος Ἀντιφῶν 124. 15· πρός τινα ὁ αὐτ. 120 ἐν τέλ.: — οἱ **ἀμφισβητοῦντες** ἢ ἐρίζοντες, οἱ ἀντίδικοι ἐν δίκῃ, Δημ. 1175. 11, Ἀριστ. Ῥητ. 1. 1, 6 καὶ ἀλλ. **2**) μ. δοτ. προσ., ἐρίζω ἢ συζητῶ πρός τινα, τινὶ Πλάτ. Φαῖδρος 263Α καὶ ἀλλ.· τινὶ περί τινος ὁ αὐτ. Πολιτ. 268Α, Ἰσαῖος 44. 8, κτλ. **3**) μ. γεν. πράγμ. = ἐρίζω, φιλονεικῶ περί τινος, διά τι, τοῦ σίτου ἀμφ. ἡμῖν, πρὸς ἡμᾶς περὶ τοῦ σίτου, Δημ. 884. 26: ἐντεῦθεν, ἔχω ἀξιώσεις ἐπί τινος, ἀντιποιοῦμαί τινος, τῶν οὐδὲν ὑμῖν προσηκόντων ὁ αὐτ. 165, 11· τῆς ἀρχῆς ὁ αὐτ. 1000. 3· τῆς πολιτείας Ἀριστ. Πολιτικ. 3. 8, 7, πρβλ. 3. 12, 7· τρία τά ἀμφισβητούμενα τῆς ἰσότητος, τρία πράγματα τὰ ὁποῖα ἔχουσιν ἀξιώσεις ἐπὶ τῆς ἰσότητος, ὁ αὐτ. 4. 8, 9· τῆς μεσότητος ἀμφισβητεῖ τὰ ἄκρα ὁ αὐτ. Ἠθ. Ν. 4. 4, 4· — οὕτω καὶ ἀμφ. πρός τι ὁ αὐτ. Πολιτ. 3. 13, 1. **6**) ὡς δικαν. ὅρος τοῦ Ἀττ. δικαίου, ἐγείρω ἀξιώσεις ἐπὶ τῆς περιουσίας τεθνεῶτος ἢ ἐπὶ τῆς κηδεμονίας κληρονόμου, τοῦ κλήρου ἀμφ. Δημ. 1051. 22, 1092. 3· πρβλ. Ἰσαῖον 44. 8. κέξ., Δ. Β. 256. 13. **4**) μ. αἰτ. πράγμ., διαφιλονεικῶ τι, εὑρίσκομαι ἐν ἀμφισβητήσει περὶ αὐτοῦ, ἓν τουτὶ ἀμφισβητοῦμεν Πλάτ. Γοργ. 472D· οὐκ ἀληθῆ ἀμφ. ὁ αὐτ. Μενέξ. 242D: — οὕτω καὶ μετὰ δοτ. πράγμ., ἴδε ἐν λ. **ἀμφισβητητέον**. **5**) μετ' αἰτ. καὶ ἀπαρ., διισχυρίζομαι ὅτι, ἀμφ. εἶναί τι ὁ αὐτ. Γοργ. 452C, πρβλ. Δημ. 833. 6, κτλ.· οὕτως, ἀμφ. ὅτι ἐστί τι Πλάτ. Συμπ. 215Β· οὕτω καὶ μετ' ἀρνήσεως, ἐπιμένω, διισχυρίζομαι ὅτι δὲν ἔχει οὕτω τὸ πρᾶγμα, ἀμφ. μὴ εἶναι ἡδέα τὰ ἡδέα ὁ αὐτ. Φίλ. 13Β· ἠμφισβήτει μὴ ἀληθῆ λέγειν ἐμὲ Δημ. 347. 8· οὕτω καί, ἀμφ. ὡς οὐκ ἐστί τι Πλάτ. Πολιτ. 476D καὶ ἀλλ.· ἀμφ. περὶ τούτων ὡς οὐ.. Ἀριστ. Πολιτικ. 3. 16, 10. **6**) ἐν Αἰσχίν. 48. 1. (148) ὑπάρχει παίγνιόν τι ἐπὶ τῆς λέξεως, οὐδὲ ἀμφισβητῶν ἀνὴρ εἶναι, οὐ γὰρ ἂν τολμήσαιμι εἰπεῖν, ὡς ἀνὴρ εἶ· ἐγράφης λιποταξίου, διότι ἐτέθη εἰς τοιαύτην θέσιν ὥστε ὁ ἀκούσας αὐτὴν πρὶν ἀκούσῃ τὰ ἑπόμενα νὰ σχηματίσῃ τὴν ἐναντίαν ἰδέαν. **II**. Παθ., εἶμαι τὸ ἀντικείμενον ἀμφισβητήσεως, ἀμφισβητοῦμαι, ἀμφισβητεῖταί τι Πλάτ. Πολιτ. 581Ε, κτλ.· ἢ ἄπρος., ἀμφισβητεῖται περί τι ὁ αὐτ. Σοφ. 225Β· περί τινος ὁ αὐτ. Πολ. 457Ε· ἀμφισβητεῖται μή εἶναί τι, εἶναι φιλονεικούμενος, διαφιλονεικεῖται ὁ αὐτ. Πολιτ. 276Β· ὁ πολίτης ἀμφισβητεῖται, ὅηλ. ἡ λέξις πολίτης εἶναι ἀμφισβητήσιμος, οὐ γὰρ τὸν αὐτὸν ὁμολογοῦσι πάντες εἶναι πολίτην κτλ. Ἀριστ. Πολιτικ. 3. 1, 2· — τὰ **ἀμφισβητούμενα** = τὰ **ἀμφισβητήματα**, Θουκ. 6. 10., 7. 18, Ἰσοκρ. 44C, Πλάτ. Νόμ. 641D, κτλ.

ἀμφισβήτημα, ατος, τό, τὸ ἀμφισβητούμενον, περὶ οὗ ὑπάρχει ἀμφισβήτησις, Πλάτ. Θεαίτ. 158Β, Ἀριστ. Πολιτικ. 3. 2, 4. **2**) ἰσχυρισμὸς κατὰ τὴν συζήτησιν, ὅτι διισχυρίζεταί τις, Πλάτ. Φίλ. ἐν τῇ ἀρχῇ.

ἀμφισβητήσιμος, ον, ὁ ἀμφισβητούμενος ἢ ὃν δύναταί τις νὰ ἀμφισβητήσῃ, ὑποκείμενος εἰς ἀντιρρήσεις, ἀμφίβολος, Ἀντιφῶν 120, 41, Πλάτ. Συμπ. 175Ε, κτλ.· χώρα ἀμφ., ἔδαφος ἀμφισβητούμενον, Ξεν. Ἑλλ. 3. 5, 3, Δημ. 87. 13· τὰ ἀμφ., περιουσία διαφιλονεικουμένη, Πλάτ. Νόμ. 954C· ἀμφ. ἀγαθὰ Ἀριστ. Ῥητ. 1. 6, 18· ἀμφ. ἐστι, εἶναι ἀντικείμενον συζητήσεως ἢ ἀμφιβολίας, πότερον . ὁ αὐτ. Μεταφ. 2. 2, 10· οὕτως, οὐκέτ' ἐν ἀμφισβητησίμῳ τὰ πράγματα ἦν Δημ. 274. 5.

ἀμφισβήτησις, εως, ἡ, φιλονεικία, συζήτησις, ἔρις, ἀντιλογία, ἀμφ. γίγνεται (ἢ ἐστί) περί τινος Πλάτ. Φίληβ. 15Α, Πολ. 533D· ἀμφ. Δελφῶν πρὸς Ἀμφισσεῖς ὑπὲρ τῶν ὅρων Συλλ. Ἐπιγρ. 1711· ἀμφισβήτησιν ὑπολείπειν, ὑπολ. ἀφορμὴν πρὸς ἀμφισβήτησιν, Ἀντιφῶν 131. 17· ἀμφ. ποιεῖν Λυσ. 148. 30· ἀμφισβήτησιν ἔχει, ἐπιδέχεται ἀμφιβολίαν, συζήτησιν, Ἀριστ. Ἠθ. Ν. 10. 1, 2· ἀμφ. ἔσται, τίνας ἀρχειν δεῖ ὁ αὐτ. Πολιτικ. 3. 13, 5· ἀμφισβητήσεις [γίγνονται] μὴ βλαβερὸν εἶναί τι ὁ αὐτ. Ῥητ. 3. 16, 6, κτλ. **2**) ὡς ὅρος δικαν. τοῦ Ἀττικοῦ δικαίου, τὸ ἐγείρειν ἀξιώσεις ἐπί τινος κληρονομίας (ἴδε **ἀμφισβητέω** Ι. 3. **6**), Ἰσαῖος 56. 27.

ἀμφισβητητέον, ρήματ. ἐπίθ., δεῖ ἀμφισβητεῖν, πρέπει νὰ φέρῃ τις ἀντιρρήσεις, τοῖς εἰρημένοις Ἀριστ. Ἠθ. Ν. 3. 5, 5· πρβλ. **ἀμφισβητέω** Ι. 4.

ἀμφισβητητικός, ή, όν, ἐριστικός, φιλόνεικος, περί τι Πλάτ. Πολιτ. 306Α: — ἡ **-κή** (ἐνν. τέχνη) ἡ τέχνη τοῦ ἀμφισβητεῖν, ὁ αὐτ. Σοφ. 226Α· τὸ **-κόν**, τὸ ἀμφισβήτημα, αὐτόθι 225Α.

ἀμφισβήτητος, ον, διαφιλονεικούμενος, ὑποκείμενος εἰς ἀμφισβήτησιν, γῆ Θουκ. 6. 6.

ἀμφίσγονοι, «ἑτερόγονοι» Ἡσύχ., «ἑτερομήτορες» Βαρῖν.

ἀμφισκάπτω, περισκάπτω, Ἀπολλιν. Ψαλμ. 79. 34.

ἀμφίσκιος, ον, (σκιά) ὁ ῥίπτων σκιὰν κατ' ἀμφότερα τὰ μέρη, ἄλλοτε πρὸς βορρᾶν, καὶ ἄλλοτε πρὸς νότον, ἐπὶ τῶν κατοικούντων τοὺς Τροπικούς, Ποσειδώνιος παρὰ Στράβ. 135· πρβλ. **ἑτερόσκιος, περίσκιος**. **II**. ὁ ἐκτείνων σκιὰν ὁλόγυρα, πέτρη Ὀππ. Ἁλ. 1. 789.

ἀμφίσκω, «ἀμφίσκοντες, ἐνδυόμενοι» Ἡσύχ.

ἀμφίσκωμοι, «οἱ περιοικοῦντες τὰς κώμας» Ἡσύχ.

ἀμφιστάτης, ὁ, ἐξεταστής, λέξις μεταγ., πρβλ. Ἡσύχ. «ἀμφίσταται· ἐξετάζειν».

ἀμφίσταυρος, ὁ, ὁ ἑκατέρωθεν σταυροειδής, Γλωσσ.

ἀμφιστέλλομαι, μέσ., περιβάλλομαι, ἐνδύομαι, στολίζομαι, ξυστῖδα ἀμφιστείλαμένα Θεόκρ. 2. 74.

ἀμφιστένω, βογγῶ ἀπὸ ὅλα τὰ μέρη, βούζω, μέλαν δ' ἀμφέστενε κῦμα ῥηγνύμενον Κόϊντ. Σμ. 9. 440, κτλ.

ἀμφιστερῆ, «καταρχὴ τῶν θυσιῶν, Λάκωνες» Ἡσύχ.

ἀμφίστερνος, ὁ ἔχων διπλοῦν στέρνον, Ἐμπεδ. 214. Καθ' Ἡσύχ. «ἀμφίστερνον, δεινήν.»

ἀμφιστεφανόομαι, παθ., ὁμιλος ἀμφιστεφάνωτο, ὅμιλος ἀνθρώπων (Λατ. corona) ἵστατο ὁλόγυρα, Γεν. Ὁμ. εἰς Ἀφρ. 120.

ἀμφιστεφής, ές, ὁ τεθειμένος πέριξ ἐν εἴδει στεφάνου, Ἰλ. Λ. 40· ἴδε ἐν λ. **ἀμφιστρεφής**. **II**. πλήρης μέχρι στεφάνης, ἕως ἐπάνω «πάντοθεν πλήρης» Ἡσύχ., Σουΐδ., Α. Β. 389. 16.

ἀμφιστέφω, περιστέφω, περιβάλλω, Ἐπιγράμμ. Ἑλλ. 995. 5.

ἀμφ-ίστημι, περίστημι: πιθανῶς ἐν χρήσει παρὰ ποιηταῖς μόνον καὶ ἐν τῷ παθ. τύπῳ **ἀμφίσταμαι** μετὰ τοῦ ἀμεταβ. ἀορ. **ἀμφέστην**, Ἐπ. γ' πληθ. **ἀμφέσταν**, συγκεκομμ. γ' πληθ. προσ. τοῦ πρκμ. **ἀμφεστᾶσι**: — ἵσταμαι πέριξ, ἁπολ., φίλοι δ' ἀμφέσταν ἑταῖροι Ἰλ. Σ. 233· κλαίων δ' ἀμφίσταθ' ὅμιλος Ω. 712· μ. αἰτ., ἀμφὶ δέ σ' ἔστησαν (ἐν τμήσει) Ὀδ. Ω. 58· πεδίον ἀμφεστᾶσι πᾶν Σοφ. Ο. Κ. 1312, πρβλ. Αἴ. 724: μ. δοτ., ἀμφίσταμαι τραπέζαις ὁ αὐτ. Ἠλ. 192. **II**. μέσ., ἀνιχνεύω, ἀνερευνῶ, Ἡρακλ. Πίν. ἐν τῇ Συλλ. Ἐπιγρ. 5774. 125· ὁ Ἡσύχ. ἔχει **ἀμπιστατῆρ** (οὕτως ἀναγνωστέον)· **ἐξεταστής**.

ἀμφίστομος, ον, ὁ διπλοῦν ἔχων στόμα ἐπὶ τοῦ ἰχνεύμονος, Εὔβουλος ἐν «Σφιγγοκαρίωνι» 1. 15· ὄρυγμα ἀμφ., ὑπόγειος σῆραγξ, ὑπόνομος ὁδός, Ἡρόδ. 3. 60· λαβὰς ἀμφ., λαβὰς ἑκατέρωθεν τοῦ στόματος τοῦ ἀγγείου (Σχολ.), Σοφ. Ο. Κ. 473· ἀμφ. θυρίδες, περὶ τῶν κυψελίδων τοῦ μελικήρου, τῆς κηρήθρας, Ἀριστ. Ἱστ. Ζ. 9. 40, 9. **2**) δίστομος: ἰδίως σῶμα στρατιωτῶν ἔχον ἑκατέρωθεν μέτωπον, ἀμφίστομος φάλαγξ, «ἡ τοὺς ἡμίσεας τῶν ἐν τοῖς λόχοις ἀνδρῶν ἀπεστραμμένους ἀπὸ σφῶν ἔχουσα, ὡς ἀντινώτους εἶναι» Ἀρρ. — Ἀσκληποδ. Τακτ. σ. 146. 5, ἔκδ. Koechly. — ἀμφ. δύναμις, τάξις Πολύβ. 2. 28, 6., 29, 4.

ἀμφιστρᾰτάομαι, ἀποθ. περικυκλώνω διὰ στρατοῦ, πολιορκῶ, Ἐπ. πρκμ. **ἀμφεστρατώοντο πόλιν** Ἰλ. Λ. 713.

ἀμφιστρεφής, ές, συμπεπλεγμένος, ἐπὶ τῶν τριῶν τοῦ δράκοντος κεφαλῶν, κεφαλαὶ δέ οἱ ἦσαν τρεῖς ἀμφιστρεφέες, ἀλλήλαις συμπεπλεγμέναι, Ἰλ. Λ. 40, ἔνθα πρότερον ἦτο ἀμφιστεφέες: — ὡσαύτως **ἀμφιστραφής**, Διοτογεν. παρὰ Στοβ. 331. 12.

ἀμφιστρόγγῡλος, ον, ὁλοστρόγγυλος, Λουκ. Ἱππ. 6.

ἀμφιστροφή, «ἐκχώρησις, ὑποστροφή» Ἡσύχ.

ἀμφίστροφος, ον, ὁ τῇδε κἀκεῖσε στρεφόμενος, ὁ ταχέως στρεφόμενος, εὔστροφος, Λατ. versatilis, βᾶρις ἀμφ. = ἀμφιέλισσα Αἰσχύλ. Ἰχ. 882. Τὴν γραφὴν ταύτην παρεδέχθησαν μετὰ τοῦ Πέρσωνος ὁ Δινδόρφιος καὶ ὁ Ἔρμαννος (ἀντὶ τῆς κοιν. γραφ. **ἀντίστροφος**), ὁδηγούμενοι ἐκ τῶν εἰς τὰς Ἱκέτιδας Σχολ.: «τὴν ἐξ ἀμφοτέρων τῶν μερῶν ἑλισσομένην. ὅ ἐστιν ἀμφιέλισσαν.»

ἀμφισφάλλω, κάμνω τι νὰ περιστραφῇ, ἐπὶ ἄρθρων, Ἱππ. περὶ

Ἄρθρ.780· ἐν τῷ παθ. τύπῳ, ὁ αὐτ. Μοχλικὸν 848. Ἴδε Θησ. Στεφ. ἐν λέξει.

ἀμφίσφαλσις, εως, ἡ, περιστροφή, Ἱππ. περὶ Ἄρθρ. 833.

ἀμφίσφῠρα, τά, εἶδος γυναικείων ὑποδημάτων, Ἡσυχ., Πολυδ. Ζ. 94.

ἀμφίς-ωπος, ον, = **περίωπος,** περίοπτος, Αἰσχύλ. Ἀποσπ. 35: πρβλ. **περιωπή.**

ἀμφιτᾰλαντεύω, σταθμίζω τι οὕτως ὥστε πρὸς ἅπαντα τὰ μέρη νὰ κλίνῃ ἐξ ἴσου, Νόνν. Δ. 1. 183.

ἀμφιτάλαντος, ον, ἐπὶ τοῦ ζυγοῦ, ὁ πρὸς ἅπαντα τὰ μέρη ἐξ ἴσου κλίνων, Γρηγ. Ναζ.

ἀμφιτάμνω, Ἰων. ἀντὶ **ἀμφιτέμνω.**

ἀμφιτανύω = **ἀμφιτείνω,** Ὑμ. Ὁμ. εἰς Ἑρμ. 49.

ἀμφιτάπης [ᾰ], **ητος,** ὁ, ὕφασμα ἢ τάπης ἀμφοτέρωθεν χνοώδης, ἀμφίμαλλος, Ἄλεξις ἐν «Ἰάσιδι» 1, Δίφιλ. ἐν «Κιθαρῳδῷ» 1· ἀλλ' εὕρηται καὶ **ἀμφιτάπητες ψιλαί** Ἐπιγρ. Τηΐα ἐν Συλλ. Ἐπιγρ. 3071: — οὕτως, **ἀμφίταπις, ιδος,** ἡ, Αἴλ. Διον. παρ' Εὐσταθ. 746. 39· καὶ **ἀμφίταπος,** ὁ, Ἐδδ. (Παρ. Ζ', 13), Καλλίξ. παρ' Ἀθην. 197Β, — ἐν οἷς χωρίοις γίνεται λόγος περὶ πολυτελῶν Αἰγυπτίων ταπήτων.

ἀμφιτᾰράσσομαι, παθ. ταράττομαι πανταχόθεν, ὀλόγυρα, ἀλὸς ἀμφιταρασσομένας ὀρυμαγδὸς Σιμων. 125, ἔκδ. Γαισφ.

ἀμφιταρβής, ές, (τάρβος) ὁ πανταχόθεν θορυβούμενος, διάφορ. γρ. ἐν Αἰσχύλ. Χο. 540 ἀντὶ τοῦ **ἀμφὶ τάρβει.**

ἀμφιτείνομαι, παθ., ἐκτείνομαι, ἁπλώνομαι πέριξ ἢ ἄνωθεν, **ἀμφιταθεὶς** Χριστοδ. Ἔκφρ. 326, Ὀππ. Ἀλ. 1. 163.

ἀμφιτείρω, κατατυραννῶ, Κόϊντ. Σμ. 9. 368, ἐν τμήσει.

ἀμφιτειχής, ές, ὁ περιβάλλων τὰ τείχη, λεὼς Αἰσχύλ. Θήβ. 290.

ἀμφιτέμνω, Ἰων. **ἀμφιτάμνω,** περικόπτω, διακόπτω καὶ περικυκλῶ, Λατ. intercipio, ἐν τμήσει, τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας Ἰλ. Σ. 528· πρβλ. **περιτέμνω** ΙΙ.

ἀμφίτερμος, ον, ὁ πανταχόθεν περιορίζόμενος: — Ἐπίρρ. **-μως** Σοφ. Ἀποσπ. 125.

ἀμφιτεύχω, κατασκευάζω ἢ ἐργάζομαι ὀλόγυρα, ὑπερσυντ. παθ. Τηθὺς δ' ἀμφιτέτυκτο, ἐπὶ τῆς θαλάσσης πέριξ τῆς ἀσπίδος τοῦ Ἀχιλλέως, Κόϊντ. Σμ. 5. 14.

ἀμφιτίθημι [τῐ], γ' ἐν. **ἀμφιτιθεῖ** Ξενοφάν. 1. 2, προστ. **ἀμφιτίθει** Θέογν.: ἀόρ. ὀρ. **ἀμφέθηκα,** αἱ δὲ λοιπαὶ ἐγκλίσεις παραλαμβάνονται ἐκ τοῦ ἀορ. δ' (ἴδε **τίθημι**). Περιβάλλω, θέτω πέριξ, καθάπερ τὸ **ἀμφιβάλλω,** Λατ. circumdo, ὁ Ὅμ. τὸ πλεῖστον ἐν τμήσει, ἀμφὶ δέ οἱ κυνέην κεφαλῇφιν ἔθηκεν Ἰλ. Κ. 261, πρβλ. Ὀδ. Ν. 431· τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας Σόλων 3. 33· ἂν περ .. κόσμον ἀμφιθῇ χροΐ Εὐρ. Μήδ. 787, πρβλ. Ἱλ. 512, Ὀρ. 1042, κτλ.· ὡσαύτως στέφανον ἀμφὶ κάρα .. ἀμφιθεῖναι ὁ αὐτ. Ι. Α. 1531: — μ. αἰτ. πράγ. μόνον, ζεύγλην δύσλοφον ἀμφιτίθει Θέογν. 847, πρβλ. Θεόκρ. 15. 40: (ἐν Σιμων. Ἰαμβ. 6. 116, ἀντὶ τοῦ δεσμὸν ἀμφέθηκεν .. πέδῃ ὁ Koehler ἐξ εἰκασίας προτείνει πέδης καὶ ἐν Λυκόφρ. 1344, τραχήλῳ ζεῦγλαν ἀμφιθεὶς πέδαις διόρθωσίς τις φαίνεται ἀναγκαία): — Μέσ., περιτίθεμαι, περιβάλλομαι, ὁ δ' ἀμφέθετο ξίφος Ὀδ. Φ. 431· ἀμφέθετο στεφάνους κρατὸς ἔπι Ἀνθ. Π. παράρτ. 308: — Παθ., τίθεμαι ἐπί τινος, κυνέη ἀμφιτεθεῖσα Ἰλ. Κ. 271. **2)** σπανίως μ. δοτ. πράγμ., καλύπτω διά τινος, ἀμφιθεὶς κάρα πέπλοις Εὐρ. Ἑκ. 432.

ἀμφιτῑνάσσω, σείω, τινάσσω πέριξ, ὡῶ μεθ' ὁρμῆς, δικλίδας ἀμφετίναξε .. προσώποις, ἔκλεισε μεθ' ὁρμῆς τὴν θύραν κατὰ πρόσωπόν μου, Ἀνθ. Π. 5. 256.

ἀμφιτιττῠβίζω, τσυτσυρίζω ὀλόγυρα, ἐπὶ πτηνῶν, ἰδίως τῆς χελιδόνος, κατ' ἐνεστ., Ἀριστοφ. Ὄρν. 235. Ἴδε **τιττυβίζω.**

ἀμφίτομος, ον, ὁ ἑκατέρωθεν τέμνων, δίστομος, βέλεμνον Αἰσχύλ. Ἀγ. 1496· λόγχαι, ξίφη Εὐρ. Ἱππ. 1375, Ἡλ. 164· ἐν τῷ Θησ. Στ. γράφεται παροξυτόνως **ἀμφιτόμος.**

ἀμφίτοροι, «ἄλφιτα ἐλαίῳ δεδουλευμένα» Ἡσύχ.

ἀμφίτορνος, ον, ὁ καλῶς πανταχόθεν τετορνευμένος, ἀσπὶς Εὐρ. Τρῳ. 1156.

ἀμφιτορνωτός, ή, όν, περιφερής, Λυκόφρ. 704.

ἀμφιτράχηλος [ᾰ], **ον,** ὁ περὶ τὸν τράχηλον, Σχόλ. εἰς Σοφ. Ἀντ. 350.

ἀμφιτρέμω, τρέμω περί τινα, περιτρέμω, ἐν τμήσει **ἀμφὶ δ' ἄρ' ἀμβρόσιος ἐανὸς τρέμε** Ἰλ. Φ. 507.

ἀμφιτρέχω, περιτρέχω, περιβάλλω, αὐλὴν ἕρκος ἀμφιδέδρομεν Ἀρχίλ. 37· σέλας δ' ἀμφέδραμεν Πινδ. Π. 3. 69· θείη δ' ἀμφιδέδρομεν χάρις Σιμων. Ἰαμβ. 6. 89.

ἀμφιτρής, ῆτος, ὁ, ἡ, (*τράω) = τῷ ἑπομ.: — **ἀμφιτρής,** [ἑνν. πέτρα], βράχος διάτρητος, σπήλαιον ἔχον δύο εἰσόδους, Εὐρ. Κύκλ. 707· ὡσαύτως οὐδετ., δι' ἀμφιτρῆτος αὐλίου Σοφ. Φ. 19· πρβλ. Λοβ. Αἴ. 323.

ἀμφίτρητος, ον, (*τράω) ὁ ἑκατέρωθεν τετρυπημένος, διάτρητος, Ἀνθ. Π. 6. 233.

Ἀμφιτρίτη [τρῖ], ἡ, ἡ τοῦ Ποσειδῶνος σύνευνος, Ὅμ., κτλ. **2)** ποιητ. ἡ θάλασσα, Διον. Π. 99.

ἀμφίτριψ, ῐβος, ὁ, (τρίβω) ὁ ὁλόγυρα τριβόμενος ἢ τετριμμένος· μεταφ. ὡς τὸ **περίτριμμα,** ἐπὶ ἡσκημένου πανούργου, Θεογνώστ. Καν. ἐν Ὀξ. Ἀνεκδ. 2. 98, πρβλ. Ἡρωδιαν. αὐτόθι 3. 286, ὅστις ἀναφέρει τὴν λέξ. ἐκ τοῦ Ἀρχιλ. (121). Ἐντεῦθεν τὸ παρ' Ἡσυχ., **ἀμφίτριβα** [ῐ] **περιττῶς τετριμμένον διωρθώθη ὑπὸ Δινδορρ. ἀμφίτριβας** .. τετριμμένους.

ἀμφιτρομέω = τρέμω περί τινος, διά τινα, τοῦ δ' ἀμφ. καὶ δείδια Ὀδ. Δ. 820.

ἀμφιτροχόω, ἀμφιτρέχω, περιβάλλω, περιφύομαι, ταύτην ἀμφιτροχώσας ἐκάλυψεν ὁ φλοιός, περιδραμών, περιβαλών, Ἀπολλοδ. 1. 9, 12, — πιθαν. ἔκ τινος ποιητοῦ.

ἀμφίτυπος, ον, (τύπτω, τῠπεῖν) = δίστομος, δίκοπος, Κόϊντ. Σμ. 1. 159.

ἀμφιφαείνω, λάμπω ὀλόγυρα, περιλάμπω φαεινῶς, περιφωτίζω; αἴγλη δέ μιν ἀμφ. Ὑμ. Ὁμ. εἰς Ἀπόλλ. 202.

ἀμφιφανής, ές, (φάος) πανταχοῦ φαινόμενος, ὁ πανταχοῦ ὁρατός, καὶ τὰ μὲν τούτων ἑσπέρια, τὰ δὲ ἑῷα, τὰ δὲ ἀμφιφανῆ θεωρεῖται, σπανίως δὲ βόρεια καὶ νότια Ἀριστ. Κόσμ. 4. 25: πρβλ. **ἀμφιφανής.**

ἀμφίφᾰλος, ἀμφίφαλον κυνέην «φαλοὺς περὶ αὐτὴν ἔχουσαν· φαλοὶ δέ εἰσιν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι» (σχόλ.), Ἰλ. Ε. 743, Λ. 41· ἴδε ἐν λ. **φαλὸς** [φᾰλος].

ἀμφιφανής, ές, (φαίνομαι, φανῆναι) ὁ πανταχόθεν φαινόμενος, περιφανής, γνωστὸς τοῖς πᾶσι, Εὐρ. Ἀνδρ. 835. **2)** ἐπὶ ἀστέρων, ὁ κατά τε τὴν πρωΐαν καὶ τὴν ἑσπέραν ὁρατὸς ἢ (κατ' ἄλλους) ἐπιτέλλων καὶ δύων μικρὸν μετὰ τὴν δύσιν καὶ πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου, Ἀρρ. ἐν Στοβ. Ἐκλογ. 1. 588.

ἀμφιφάω, φωτίζω, λάμπω ὀλόγυρα, Χρησμ. παρὰ Συνεσ. 142D.

ἀμφιφέρομαι, παθ., φέρομαι ὀλόγυρα, περιστρέφομαι, κατὰ παρατ. Κόϊντ. Σμ. 5. 10.

ἀμφίφλασμα = **ἀμφίθλασμα,** Ἱπποκρ. περὶ Ἄρθρ. 53.

ἀμφιφοβέομαι, παθ., φοβοῦμαι, τρέμω ὁλόκληρος, ἔταροι δέ μεν ἀμφιφόβηθεν Ἰλ. Π. 290 (ἄλλ. ἀμφὶ φοβ-.), πρβλ. Κόϊντ. Σμ. 2. 546., 11. 117.

ἀμφιφορεύς, γεν. **έως,** Ἐπ. **ῆος,** ὁ: (φέρω, φορέω). Μεγάλη ὑδρία ἔχουσα δύο λαβάς, — ἐκ χρυσοῦ Ἰλ. Ψ. 92, Ὀδ. Ω. 74, — ἐκ λίθου Ν. 105· πρὸς διατήρησιν οἴνου, Β. 290, κτλ.: Οὕτω Σιμων. 213: ἐν χρήσει καὶ πρὸς τήρησιν τῆς τέφρας τοῦ θανόντος, Ἰλ. Ψ. 92.

ΙΙ. = μετρητής Θεόπομπ. παρὰ Σχολ. Ἀπολλ. Ροδ. Δ. 1187, (Ὁ νεώτερος τύπος ἦτο **ἀμφορεύς,** ἴδε τὴν λέξιν).

ἀμφιφορίτης [ῐ], ὁ, — ἴδε ἐν λ. **ἀμφορίτης.**

ἀμφιφράζομαι, μέσ., θεωρῶ τι πανταχόθεν ὑπὸ πᾶσαν ἔποψιν, καλῶς ἐξετάζω τι, ἐν τμήσει, ἀμφὶ μάλα φράζεσθε, φίλοι Ἰλ. Σ. 254.

ἀμφίφυα, ἡ, (φύω) = **ἄμφαυξις,** Θεοφρ. Ἰ. Φ. 3. 7, 1, καὶ **ἀμφιφύα,** ἡ.

ἀμφιφῶν, ῶντος, ὁ, κυρίως, μετοχ. τοῦ **ἀμφιφάω:** πλακοῦς προσφερόμενος τῇ Μουνιχίᾳ Ἀρτέμιδι μεταξὺ δύο φώτων, δηλ. μεταξὺ τῆς δύσεως καὶ τῆς ἀνατολῆς (πρβλ. **ἀμφιφῶς οὐρανοῦ** Ἀθήν. 645C), Φερεκρ. Ἀδηλ. 6, Φιλήμ. ἐν «Πτωχῇ ἢ Ροδίᾳ» 1, πρβλ. Πολυδ. Ζ', 75, Ἐτυμ. Μ. 94. 55. — «πλακοῦς ποιὸς Ἀρτέμιδι μετὰ δᾳδῶν προσφερόμενος» Ἡσύχ.

ἀμφιφῶς, ἑκατέρωθεν φῶς ἔχων, «ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐπικαταλαμβάνεται ἡ σελήνη ἐπὶ ταῖς δυσμαῖς ὑπὸ τῆς τοῦ ἡλίου ἀνατολῆς καὶ ὁ οὐρανὸς ἀμφιφῶς γίνεται» Ἀθήν. 645C.

***ἀμφιχαίνω,** ἴδε **ἀμφιχάσκω.**

ἀμφίχαιτος, ον, ἔχων φύλλα ὀλόγυρα, Διόδ. 2. 53.

ἀμφιχᾰνής, ές, ὁ πανταχόθεν χαίνων, Ἀβυδην. παρ' Εὐσ. Εὐαγγ. Προπ. 9. 2.

ἀμφιχᾰράσσω, περιχαράσσω, χαράσσω ἢ σημειώνω πέριξ, Μανέθ. 2. 66.

ἀμφιχάσκω, ἴδε κατωτ.: μετ' ἀορ. **ἀμφέχᾰνον** (διότι δὲν ἀπαντᾷ ἐνεστ. **ἀμφιχαίνω**). Περιχαίνω, χαίνω διά τι, μ. αἰτ., ἐμὲ μὲν κὴρ ἀμφέχανε, «περιέχανε, κατέπιεν» (Σχόλ.), Ἰλ. Ψ. 79· μαστὸν ἀμφέχασκ' ἐμὸν θρεπτήριον, ἐλάμβανον εἰς τὸ καΐνον στόμα αὐτοῦ τὸν τρέφοντά με μαστόν, ἐπὶ νηπίου (ἐνταῦθα ὁ λόγος περὶ ὄφεως), Αἰσχύλ. Χο. 545· ἀμφιχανὼν λόγχαις ἐπτάπυλον στόμα, ἐπὶ τῆς στρατιᾶς τῶν Ἀργείων περὶ τὰς Θήβας, Σοφ. Ἀντ. 118: ἐπὶ ἰχθύων, ἀγκίστρου .. πλάνον ἀμφιχανοῦσα [ἡ φυκίς], εἶδος κωδιοῦ, Ἀνθ. Π. 7. 702: — σπανίως μ. δοτ., Ὀππ. Ἁλ. 3. 178.

ἀμφιχέω, περιχέω, ἐπιχέω, ἐν τμήσει, ἀμφὶ δ' ἄρ' ἐρμῖσιν χέε δέσματα Ὀδ. Θ. 278. **ΙΙ.** τὸ πλεῖστον ἐν τῷ παθ., περιχέομαι, πάρος κόνιν ἀμφιχυθῆναι Ἰλ. Ψ. 764· μ. αἰτ. θείη δέ μιν ἀμφέχυτ' ὀμφὴ Ἰλ. Β. 41· τὴν δ' ἄχος ἀμφεχύθη Ὀδ. Δ. 716· ἀμφιχυθὲν γῆρας Μίμν. 5· ἀμφὶ δὲ σποδὸν κάρα κεχύμεθα Εὐρ. Ἰκ. 826. **2)** ἐπὶ προσώπων, ὡς τὸ Λατ. circumfundi, περιπτύσσομαι· ἀμφιχυθεὶς πατέρα Ὀδ. Π. 214· ἀπολ., Χ. 498.

ἀμφιχολόομαι, παθ., εἶμαι ὠργισμένος ἑνεκά τινος, μ. γεν. πράγμ., Γρηγ. Ναζ.

ἀμφιχορεύω, περιχορεύω, χορεύω ὁλόγυρα, Εὐρ.'Αποσπ. 596, 'Ανθ. Π. 9. 83.

ἀμφιχρίομαι, μέσ., περιχρίομαι, ἀμφὶ δ' ἐλαίῳ χρίσομαι 'Οδ. Ζ. 219.—Τὸ ἐνεργ. παρὰ Βυζ.

ἀμφίχρῡσος, ον, ἐπίχρυσος πανταχόθεν, φάσγανον Εὐρ.'Εκ. 543.

ἀμφίχῡτος, ον, περικεχυμένος ἑκατέρωθεν ἢ πανταχόθεν, τεῖχος ἀμφίχυτον, «περικεχυμένον κύκλῳ πολλῷ τῷ χώματι εἰς ὕψος, τὸ καὶ χωστὸν λεγόμενον» (Σχολ.), 'Ιλ. Υ. 145, πρβλ. 'Ελλάνικ. ἐν Σχολ. 'Ενετ. ἐν τόπῳ.

ἀμφίχωλος, ον, χωλὸς κατ' ἀμφοτέρους τοὺς πόδας, 'Ανθ. Π. 6. 203.

ἀμφιψηλαφάω, ψηλαφῶ πανταχόθεν, Θεοφίλ. Βουλγ. τόμ. Γ', σ. 705.

ἀμφοδάρχης, ὁ, ἐπιστάτης μιᾶς ἀμφόδου, Φίλ. Βελοπ. σ. 93. 8.

ἀμφοδευτικός, ή, όν, ὁ ἑκατέρωθεν ὁδευτικός, Γαλην. τόμ. 19. σ. 104.

ἀμφοδεύω, ἐκτρέπομαι τῆς ὁδοῦ, ἁμαρτάνω, 'Ησύχ. ἐν λέξει **ἀβροτάζομεν**.

ἀμφοδικός, ή, όν, ἐνόδιος, κελεύθων ἀμφοδικῶν Μανέθ. 4. 252.

ἄμφοδιον, τό, μικρὰ ἄμφοδος, Λουκ. Ρητ. διδ. 24.

ἄμφοδον, τό, πᾶσα ὁδός, ἥτις φέρει περί τινα τόπον ἢ περί τινα συνοικίαν, 'Αριστοφ.'Αποσπ. 304, 'Υπερείδ. παρὰ Πολυδ. 9. 36, Κ. Δ.:—ὡσαύτως **ἄμφοδος**, ἡ, Κλήμ.'Αλεξ. 257. **2)** συνοικία περιβαλλομένη ὑπὸ ὁδῶν, καὶ ἐπομ. = τῷ Λατ. vicus, τμῆμα ἢ συνοικία πόλεώς τινος, 'Εβδ. ('Ιερεμ. ιζ', 27).

ἀμφοδο-ποιέω, κατασκευάζω ἀμφόδους, Σχολ. εἰς Λυκόφρ. 601.

ἀμφ-όδους, = **ἀμφώδων**, 'Ιππ. περὶ 'Αρθρ. 785.

ἄμφοισμα, τό, περιστροφή, Πάππου προοίμ. εἰς 'Απολλ. Περγ. σ. 17. 2.

ἀμφοιστικός, ή, όν, κυκλικός, αὐτόθι.

ἀμφόνη, ἡ, «ἀκρατής, ἀμαρτωλός, μὴ δυναμένη νηστεῦσαι» 'Ησύχ.

ἀμφορεᾰφορέω, = φέρω ἀμφορέας, 'Αριστοφ.'Αποσπ. 285.

ἀμφορεᾰ-φόρος, ον, ὁ φέρων ἀμφορέας, Μενάνδ. Ραπ. 6.—«ἀμφορεαφόρους, τοὺς μισθίους, τοὺς τὰ κεράμια φέροντας» Σουΐδ.

ἀμφορείδιον (οὐχὶ **-ίδιον**), τό, ὑποκορ. τοῦ ἑπομ., 'Αριστοφ. Εἰρ. 202, κτλ.

ἀμφορεύς, έως, ὁ, αἰτ. ἀμφορέα 'Αριστοφ.'Αποσπ. 285· πληθ. **ἀμφορῆς** ὁ αὐτ. Νεφ. 1203: —εἶδος ὑδρίας μετὰ στενοῦ λαιμοῦ (στενόστομον τὸ τεῦχος Αἰσχύλ.'Αποσπ. 107, πρβλ. **ἴσθμιον** III), 'Ηρόδ. 4. 163, 'Αριστοφ. Νεφ. 1203, κτλ.· ἐν χρήσει διὰ διαφόρους σκοπούς, ἰδίως δὲ πρὸς ἐναπόθεσιν οἴνου καὶ γάλακτος, 'Αριστοφ. Πλ. 808· ἢ ὕδατος, Εὐρ. Κύκλ. 327, 'Αριστοφ.'Αποσπ. 285· πρὸς ἐναπόθεσιν στέατος ἢ τεταριχευμένων ἰχθύων, Ξεν.'Αν. 5. 4, 28· ὡσαύτως κάλπη πρὸς ἐναπόθεσιν τῆς τέφρας τοῦ νεκροῦ, Σοφ.'Αποσπ. 303. **II.** μέτρον ὑγρῶν = τῷ **μετρητῆς** (Φιλύλλ. ἐν «Δωδεκάτῃ» 1, Μοῖρ., κτλ.), ἰσούμενον 1 ½ Ρωμαϊκ. amphorae ἢ σχεδὸν 9 γαλλώνια, 'Ηρόδ. 1. 51, Συλλ.'Επιγρ. 355. 48 καὶ 53, Δημ., κτλ. (συντετμ. τύπος τοῦ **ἀμφεφορεύς**, ἐκ τοῦ ὅτι εἶχε δύο λαβάς).

ἀμφορικός, ή, όν, ὅμοιος ἀμφορεῖ, ἀμφ. κάδος, Σχόλ. εἰς 'Αριστοφ. 'Ορνιθ. 1032.

ἀμφορίσκος, ὁ, ὑποκορ. τοῦ **ἀμφορεύς**, Δημ. 617. 19.

ἀμφορίτης ἀγών [ῑ], ὁ, ἀγὼν ἐν ᾧ οἱ ἀγωνιζόμενοι ἔτρεχον βαστάζοντες ἀμφορεῖς, τὸ δὲ ἆθλον ἦτο εἷς ἀμφορεύς, Καλλίμ. ('Αποσπ. 80) παρὰ τῷ Σχολιαστῇ τοῦ Πινδ. Ο. 7. 156: πρβλ. Μυλλέρ. Αἰγινητ. σ. 24, καὶ ἴδε τὴν λέξ. **ὑδρία**.—'Εν τῷ 'Ετυμολ. Μ. 95. 3 εὑρηται καὶ **ἀμφιφορίτης**.

ἀμφοτεράκις, ἐπίρρ. ἀμφοτέρως, κατὰ δύο τρόπους, 'Αριστ. Προβλ. 11. 31.

ἀμφοτέρη, ἐπίρρ., κατ' ἀμφοτέρους, τοὺς τρόπους, 'Ηρόδ. 1. 75., 7. 10, 2.

ἀμφοτερίζω, εἶμαι κατὰ δύο τρόπους χρήσιμος, ἀμφοτερίζει τῇ χρείᾳ, περὶ σύκων ἅπερ καὶ ἐπιδένδρια καὶ ἐξηραμμένα εἶναι ἥδιστα. 'Ιουλιαν. 393B. — Παρὰ Στράβ. 265 διωρθώθη ἐκ χειρογρ. **ἀφορίζουσι**.

ἀμφοτερό-βλεπτος, ον, ὁ κατ' ἀμφότερα τὰ μέρη βλέπων, προφυλακτικός, ἀναποφάσιστος, Τίμ. παρὰ Σέξτ.'Εμπειρ. Π. 1. 224.

ἀμφοτερό-γλωσσος, ον, ὁ κατ' ἀμφοτέρους τοὺς τρόπους ὁμιλῶν, ὁ διττῶς λαλῶν, δίγλωσσος, περὶ τοῦ Ζήνωνος τοῦ εὐρόντος τὴν διαλεκτικήν, Τίμων παρὰ Πλουτ. Περικλ. 4.

ἀμφοτερο-γνώμων, ον, ὁ διπλῆν ἔχων γνώμην, ἀμφίβολος, Σχόλ. εἰς Εὐρ.'Εκ. 216.

ἀμφοτερο-δέξιος, ον, = **ἀμφιδέξιος**, 'Εβδ. (Κριτ. γ', 15), 'Αριστ αίν. 1. 8.

ἀμφοτερο-δεξιότης, ἡ, ἐπιδεξιότης, Θεόδ. Στουδ. σ. 340.

ἀμφοτερο-δύναμος, ον, ὁ ἔχων διττὴν δύναμιν. «Δύναταί τις καὶ ἄλλος Δία μὲν ἐκλαβέσθαι εἰς νοῦν, ὃς ἀμφοτεροδύναμός ἐστιν, ἀγαθά τε δυνάμενος καὶ κακά» Εὐστ. 1363. 29.

ἀμφοτερο-θαλής, = ἀμφιθαλής.

ἀμφοτερό-πλοος, ον, συνηρ. **-πλους, ουν**, ὁ ἀμφοτέρωθεν πλευστός, γῆ Πολυδ. Θ'. 18. **2)** τὸ **ἀμφοτερόπλουν** (ἐνν. ἀργύριον ἢ δάνειον), ναυτοδάνειον ἐπὶ ὑποθηκεύσει τοῦ πλοίου, ὁπότε ὁ δανειστὴς διέτρεχε κίνδυνον διά τε τὴν ἄνοδον καὶ τὴν ἐπιστροφὴν ἢ κάθοδον, **ἐδάνεισα Φορμίωνι κ' μνᾶς ἀμφοτερόπλουν εἰς τὸν Πόντον** Δημ. 908. 20, κτλ.:—«'Οταν τις ναυτικὸν δανείσῃ ἐπὶ τῷ καὶ ἐνθένδε πλεῦσαί ποι κἀκεῖθεν ἐνθάδε, τοῦτο ἀμφοτερόπλουν καλεῖται» 'Αρποκρ.: —ὁπόταν δὲ διέτρεχε κίνδυνον μόνον διὰ τὴν ἄνοδον τοῦ πλοίου, ἡ λέξις ἦν μετεχειρίζοντο ἧττο **ἑτερόπλουν**, ἴδε Βοϊκχιον Π. Οἰ. 1. 176 κἑξ.· πρβλ. **ναυτικόν**.

ἀμφότερος, α, ον, (ἄμφω) σπαν. καθ' ἑνικόν, ἕκαστος ἢ οἱ δύο ὁμοῦ, Λατ. uterque (ἀντιτίθεται τῷ **ἑκάτερος**, Λατ. uter= καὶ ὁ εἷς καὶ ὁ ἄλλος χωριστά), **ἀμφοτέρας κοινὸν αἷας**, κοινὸν καὶ εἰς τὴν μίαν χώραν καὶ εἰς τὴν ἄλλην, Αἰσχύλ. Πέρσ. 131· ποίημα ἢ πάθος ἢ ἀμφότερον, ἥτοι μετέχον ἀμφοτέρων, Πλάτ. Σοφ. 248D, πρβλ.'Ιππ. Μείζ. 302E κἑξ., Ξεν. Κύρ. 7. 4, 4. **2)** ὁ 'Ομ. μεταχειρίζεται τὴν λέξιν μόνον κατ' οὐδ. **ἀμφότερον**, ὡς ἐπίρρ. ἀκολουθούμενον ὑπὸ τῶν **τε .., καί**, ὡς, **ἀμφότερον βασιλεύς τ' ἀγαθός, κρατερός τ' αἰχμητής**, κατ' ἀμφότερα καὶ ἀγαθὸς βασιλεὺς καὶ κρατερὸς πολεμιστής, 'Ιλ. Γ. 179· κεῖται δὲ οὕτως ἀμετάβλητον δι' ὅλας τὰς πτώσεις, ὡς, **ἀμφ. γενεῇ τε, καὶ οὕνεκα ..**, 'Ιλ. Δ. 60· οὕτως, **ἀμφότερον** ἀκολουθούμενον ὑπὸ τῶν συνδεσμ. **τε .., δέ ..**, Πινδ. Π. 4. 140: παρομοίως τὸ οὐδ. πληθ., ἀμφότερα μένειν τε πέμπειν τε Αἰσχύλ. Εὐμ. 480, πρβλ. Πλάτ. Φαίδωνα 68C, κτλ.·—ἑπομένων τῶν συνδ. **καὶ .., καὶ ..** Πλάτ. 'Ιων 541B· **ἀλλὰ καὶ τῶν τε .., ἥ ..**, Πινδ. Ο. 1. 166. **3)** ὁ δυϊκὸς εἶναι συχνότερος παρ' 'Ομήρῳ, ἀλλ' ὁ πληθ. εἶναι ὁ κοινότατος πάντων, ὡς ἐν πᾶσι τοῖς μεταγεν. συγγραφεῦσι·—πληθ. μετὰ δυϊκοῦ ὀνόματος, **χεῖρε πετάσσας ἀμφοτέρας** 'Ιλ. Φ. 115.—Φράσεις: **κατ' ἀμφότερα**, κατ' ἀμφότερα τὰ μέρη, ἀμφοτέρωθεν, Λατ. utrimque, 'Ηρόδ. 7. 10, 2, Πλάτ. Παρμ. 159A· ἀνθ' οὗ ἐν Θουκ. 1. 13 **ἀμφότερα**· ὡσαύτως **ἀμφοτέρῃ** ἢ **ἀμφοτέρωθι**, ἅπερ ἴδε:—**ἐπ' ἀμφότερα**, πρὸς ἀμφότερα τὰ μέρη, ἀμφοτέρως, Λατ. in utramque partem, 'Ηρόδ. 3. 87, καὶ ἀλλ., καὶ συχν. παρὰ Θουκ.· οὕτως **ἀμφοτέρων**, ἀποπ., κατ' ἀμφότερα τὰ μέρη, Θουκ. 1. 13:—**ἀπ' ἀμφοτέρων**, ἐξ ἀμφοτέρων τῶν μερῶν, Λατ. ex utraque parte, 'Ηρόδ. 7. 97· οὕτως, **ἀμφοτέρωθεν**, δ ἴδε· οὕτω παρ' **ἀμφοτέρων** Διόδ. 16. 7., 19. 4, καὶ ἀλλ.:—**μετ' ἀμφοτέροισι**, ὁ εἷς μετὰ τοῦ ἄλλου (ὁ Meineke ἔχει: μ. προτέροισι), Θεόκρ. 12. 12:—**ἀμφοτέροις βλέπειν** (ἐνν. ὄμμασι), Καλλ. 'Επιγράμμ. 31. 6· **ἀμφοτέραις**, 'Επ. **-ῃσι** (ἐνν. **χερσί**), 'Οδ. Κ. 264· **ἐπ' ἀμφοτέροις βεβακὼς** (ἐνν. **ποδῶν**) Θεόκρ. 14. 66.

ἀμφοτερόφθαλμος, ον, ὁ ἔχων ἀμφοτέρους τοὺς ὀφθαλμοὺς ἐν καλῇ καταστάσει, ὁ βλέπων καλῶς, Κυριλλ. Σκυθοπ. Βίος Σάβ. 46.

ἀμφοτερό-χωλος, ον, ἀμφίχωλος, 'Απολλων. Λεξ. ἐν λ. **ἀμφιγυήεις**.

ἀμφοτέρωθεν (ὡσαύτως **-θε**, 'Ορφ. 'Αποσπ. 6. 24), ἐπίρρ., ἐξ ἀμφοτέρων τῶν μερῶν ἢ κατ' ἀμφότερα τὰ μέρη, Λατ. ex utraque parte, utrinque, 'Ιλ. Ε. 726, 'Ηρόδ. 2. 29, καὶ 'Αττ. **2)** κατ' ἀμφοτέρας τὰς ἄκρας, 'Οδ. Κ. 167.

ἀμφοτέρωθι, ἐπίρρ., κατ' ἀμφότερα τὰ μέρη, Ξεν.'Απομ. 3. 4, 12.

ἀμφοτέρως, ἐπίρρ., κατ' ἀμφοτέρους τοὺς τρόπους, Πλάτ. Γοργ. 469A, καὶ ἀλλ.

ἀμφοτέρωσε, ἐπίρρ., πρὸς ἀμφότερα τὰ μέρη, **γεγωνέμεν ἀμφ.** 'Ιλ. Θ. 223, Λ. 6.

ἀμφουδίζειν, κατεδαφίζειν.

ἀμφ-ουδίς, ἐπίρρ., μόνον ἐν 'Οδ. Ρ. 237: **κάρη ἀμφουδὶς ἀείρας**· «τὸ ἀμφουδὶς οὐδὲν διαφέρει τοῦ ἀμφ' οὐδας πλὴν ὡς αὐτὸ ἐπίρρημά ἐστιν ἐκεῖθεν παραχθέν· λέγει δέ, ἀμφουδὶς ἐρεῖσαι, τὸ πρὸς τῇ γῇ ῥῖψαι καὶ ἔστι ταὐτὸν τὸ πρὸς γῆν ἐλάσαι· εἰ δὲ γράφεται ἀείρας, εἴη ἂν ὁ νοῦς τοιοῦτος, ὡς ἐβουλεύσατο ὁ 'Οδυσσεύς, ἢ ἀνέλοι τὸν κακόν, ἢ ἀείρας ἀμφουδίς, τουτέστιν ἐκ γῆς πρὸς γῆν αὖθις ἐλάσειε τὴν ἐκείνου κεφαλήν» Εὐστ. (Ιιθαν. ἐκ τοῦ **ἀμφὶς** II, **οὖδας**, ἀπίθανος ἢ ἐκ τοῦ **ἀμφὶ** παραγωγή).

ἀμφράσσαιτο, ποιητ. εὐκτ., ἀόρ. α' τοῦ **ἀναφράζομαι**. 'Οδ. Τ. 390.

ἀμφυλάω, περιυλακτῶ, ἢ ὑλακτῶ τινα, Γρηγ. Ναζ.'Ωδ. 5. 20.

ἀμφύπαρκτος, ον, ὁ ἀμφοτέρωθεν ὑπάρχων, Μιχ. Γλυκ. Χρον. σ. 69.

ἀμφύσκη, «τῇ χειρὶ κυρτωθείσῃ, οἱ δὲ πτύον κοπροβόλον» 'Ετυμ. Μ. 94. 3.—«... ἔνιοι δὲ τὸ λεῖκνον» 'Ησύχ.

ἄμφω, τώ, τά, τώ, ὡσαύτως οἱ, αἱ, τά· γεν. **ἀμφοῖν** Σοφ. Φ. 25, κτλ.· δοτ. **ἀμφοῖν** ὁ αὐτ. Α. 1264, κτλ.: — καὶ οἱ δύο ὁμοῦ, ἀμφότεροι, οὐ μόνον ἐπὶ ἀτόμων, ἀλλὰ καὶ ἐπὶ δύο στρατῶν ἢ ἐθνῶν, 'Ιλ. Α. 364., Β. 124:—'Ο 'Ομηρος μεταχειρίζεται μόνον ὀνομ. καὶ αἰτ. **ἄμφω**: — ἀπὸ τοῦ 'Ομ. καὶ ἐφεξῆς συχνάκις συνδυάζεται μετὰ πληθυντικοῦ ὀνόματος ἢ ῥήματος:—**ἐξ ἀμφοῖν** = **ἐξ ἀλλήλοιν**, Σοφ. Ο. Κ. 1425. 'Ενίοτε ἡ λέξις εἶναι ἄκλιτος, ὡς τὸ **δύο**, Ruhnk 'Υμ. 'Ομ. εἰς Δήμ. 15, Θεόκρ. 17. 26. (Περὶ τῆς ῥίζης ἴδε **ἀμφί**, κτλ.: πρβλ. **ἀμφότερος**· Σανσκρ. ubhâu, Λατ. ambo· Γοτθ. bai, bajôps· Παλαιοσκανδιναυ. badir· Παλ. 'Υψ. Γερμ. beidê, (ἀγγλ. both), Σλαυ. oba, κτλ.).

ἀμφώβολος, ὁ, (ὀβολὸς) ἀκόντιον ἢ ὀβελὸς (σοῦβλα) μὲ διπλῆν αἰχμήν, Εὐρ. Ἀνδρ. 1133: — **ἀμφώβολα** παρὰ Σοφ. (Ἀποσπ. 835) παρ' Εὐστ. 1405. 30 ἑρμηνεύεται: αἱ διὰ σπλάγχνων μαντεῖαι. Πρβλ. **πεμπώβολον**.

ἀμφώδων, οντος, ὁ, ἡ, (ὀδοὺς) ὁ ἔχων ὀδόντας ἐν ἀμφοτέραις ταῖς σιαγόναις, ὡς πάντα τὰ σαρκοφάγα ζῷα, ἐνῷ τὰ μηρυκαστικὰ εἶναι οὐκ ἀμφώδοντα, Ἀριστ. Ἱστ. Ζ. 2.1, 50, πρβλ. Μορ. Ζ. 3. 2, 18, Ἱστ. Ζ. 1. 16, 18 καὶ ἀλλ. **II**. ὡς οὐσ., ὁ ὄνος Λυκόρρ. 1410. — Ὁ τύπος **ἀμφόδων** εἶναι κοινὸς ἐν τοῖς χειρογρ. καὶ τοῖς μεταγεν. συγγραφεῦσι, πρβλ. καὶ **ἀμφόδους**.

ἀμφώης, ες, (οὐς) = **ἄμφωτος**, Θεόκρ. 1. 28, πρβλ. Meineke ἐν τόπῳ.

ἀμφωλένιον, τό, (ὠλένη) = ψέλλιον, περιβραχιόνιον, «βραχιόλι» Ἀριστ. ἐν. 1. 25.

ἄμφωμος, ον, «ἀμφώμοις, ἀναβλήμασι, ἀναθήμασι,» Ἡσύχ.

ἀμφωμοσία, ἡ, (ὄμνυμι, ὁμόσαι) = **ἀμφιορκία**· «ὅταν τῶν δικαζομένων ὁ μὲν προομόσῃ, ὁ δὲ ἐπομόσῃ· λέγεται δὲ καὶ ἀμφιορκία» Ἡσύχ.

ἄμφωτις, ιδος, ἡ ἀμφωτίς, ίδος, ἡ, (οὖς) καδίσκος δίωτος, δηλ. ἔχων δύο λαβάς, Φιλητ. 35· — ἐν Ἐτυμολ. Μ. 94, 7, κακῶς, **ἄμφωξις**. **II**. μάλλινον ἢ δερμάτινον κάλυμμα τῶν ὤτων, Αἰσχύλ. Ἀποσπ. 101· ἐφόρουν δὲ τὸ κάλυμμα τοῦτο οἱ νεαροὶ πύκται ὡς σκεπαστήριον τῶν ὤτων κατὰ τὴν ὥραν τῆς ἀσκήσεως, Πλουτ. 2. 38Α, 706D· πρβλ. **λακωνίζω**.

ἄμφωτος, ον, (οὖς) ὁ ἔχων δύο ὦτα, ἤτοι δύο λαβάς, Ὀδ. Χ. 10.

ἀ-μώμητος, ον, ὁ μὴ μωμηθείς, ἄμεμπτος, Ἰλ. Μ. 109, Ἀρχίλ. 5. 2· ἀμ. σοφιστὴς Συλλογ. Ἐπιγρ. 2529· ἐν χρήσει ἐν ἐπιταφίοις, 4642 καὶ ἀλλ. — Ἐπίρρ. **-τως** Ἡρόδ. 3. 82.

ἀμωμίς, ίδος, ἡ, εἶδος φυτοῦ ὁμοιάζοντος τῷ **ἀμώμῳ**, Διοσκ. 1. 14.

ἀμωμίτης [ῑ], ὁ, ὅμοιος ἀμώμῳ, εἶδος **λιβάνου** Διοσκ. 1. 81.

ἄμωμον, τό, Λατ. amomum, Ἰνδικόν τι ἀρωματικὸν φυτόν, Ἀριστ. Ἀποσπ. 105, Θεοφρ. Ἱ. Φ. 9. 7, 2, πρβλ. Βοσσίου Οὐεργ. Ἐκλογ. (Βουκολ.) 3. 89., 4. 25.

ἄ-μωμος, ον, ἄνευ μώμου ἢ ἐλαττώματος, ἄμεμπτος, Σιμων. Ἰαμβ. 4, Ἡρόδ. 2. 177· κάλλει Αἰσχύλ. Πέρσ. 182· ἐν χρήσει ἐν ἐπιταφίοις, Συλλογ. Ἐπιγρ. 1974, καὶ ἀλλ. — Ἐπίρρ. **-μως** Ἐκκλ. **ἀμωμότης**, ἡ, ἀγνότης, Ἰω. Χρυσ. τόμ. Ε', σ. 928, Σύμμ. Ψελ. 25. 1, Ὀργ. Ι. 1588C.

ἀμώνη, ἡ, «ἀμώνας, τὰς ἀνεμώνας, Αἰολεῖς» Ἡσύχ.

ἀμωρβεα, ἡ, εἶδος ῥαφανίδος, Ἀθήν. 56F.

ἄμωρος, «πλακοῦντος εἶδος» Ἡσύχ.

ἀμώσας, «κρεμάσας, Ταραντῖνοι» Ἡσύχ.

ἀμῶς ἢ ἀμῶς, ἐπίρρ. ἐκ τοῦ ἀπηρχαιωμ. **ἀμός = τίς**, μόνον ἐν τῷ τύπῳ **ἀμωσγέπως** (διαρθρᾶεν εἰς ἄλλως γέ πως Ἰακωψ. Παράρτ. εἰς τὰ τοῦ Πόρσωνος Adversaria 311), κατά τινα τρόπον, κατὰ τοῦτον ἢ κατ' ἐκεῖνον τὸν τρόπον, κἄπως, Ἀριστοφ. Θεσμ. 429, Λυσίας 130. 22, Πλάτ. Πρωτ. 323C, κτλ. (ἴδε ἐν λ. **ἀμός**).

ἄμωτον, τό, = **καστάνειον** Ἀθήν. 54D.

ἄν, Ἐπ. καὶ Λυρ. **κε** ἢ **κεν**, Δωρ. **κα** (ᾱ), ἀμφότερα ἐγκλιτικά. — Τὸ μόριον τοῦτο δὲν εἶναι δυνατὸν νὰ μεταφρασθῇ διὰ μιᾶς λέξεως· ἕνεκα τῆς ποικίλης αὐτοῦ χρήσεως ἡ δύναμις αὐτοῦ καὶ ἡ σημασία ὁρίζεται ἑκάστοτε ἐκ τῆς συντάξεως αὐτοῦ. Παρ' Ὁμήρῳ τὸ **κε** εἶναι πολὺ συνηθέστερον τοῦ **ἄν**, ἀλλ' ἄνευ ἐπαισθητῆς διαφορᾶς σημασίας: ἴδε τὸ **κε**. [Τὸ **ἄν** ἔχει ἀείποτε τὸ ἄλφα βραχύ, (**ἄ**)· τὰ χωρία ὅσα ἀνεφέροντο ὡς ἔχοντα τὸ ἄλφα μακρὸν (**ᾱ**) θεωροῦνται νῦν ὑπὸ τῶν κριτικῶν ὡς ἔχοντα ἐσφαλμένην γραφήν.] Τὰ κατωτέρω λεγόμενα περὶ τοῦ **ἄν** ἰσχύουσι καὶ περὶ τοῦ **κε** παρ' Ἐπικοῖς, πλὴν ὅπου τοὐναντίον ῥητῶς λέγεται.

Τὸ **ἄν** δὲν συντάσσεται μεθ' ὁριστικῆς ἐνεστῶτος ἢ πρκμ. ἐν τῇ δοκίμῳ Ἑλληνικῇ (ἴδε Α. IV) καὶ οὐδέποτε μετὰ προστακτικῆς. Περὶ παραδειγμάτων ἐν οἷς τὸ **ἄν** κατὰ τὸ φαινόμενον συντάσσεται ὁριστικῇ ἐνεστῶτος ἴδε κατωτ. Δ. Ι. 3, καὶ ΙΙΙ. Ὑποτιθέμενά τινα παραδείγματα τοῦ **ἄν** μετὰ προστ. ἤδη διωρθώθησαν ἢ ἄλλως πως ἐξηγήθησαν: ἴδε Λ. Δινδορρ. Ξεν. Ἀν. 1. 4. 8.

Τρεῖς χρήσεις τοῦ **ἄν** πρέπει νὰ διακρίνωνται μετ' ἀκριβείας ἐν τῇ συντάξει αὐτοῦ: **Α**. ἐν συνδυασμῷ μετὰ ὑποθετικῶν, ἀναφορικῶν, χρονικῶν καὶ τελικῶν λέξεων. **Β**. ἐν τῇ ἀποδόσει. **Γ**. ἐν ἐπαναληπτικαῖς προτάσεσι.

Α. **Ι**. ΜΕΘ' ΥΠΟΤΑΚΤΙΚΗΣ: — ὁπόταν τὸ ῥῆμα εἶναι καθ' ὑποτακτικήν, τὸ **ἄν** κανονικῶς ἀκολουθεῖ τὸν σύνδεσμον **εἰ**, μετ' ἀναφορικῶν καὶ χρονικῶν λέξεων ἐν προτάσεσι περιεχούσαις τὸν ὅρον ὑφ' ὃν γενήσεταί τι ἢ τὰς περιστάσεις ἐξ ὧν ἐξαρτᾶταί τι· ἐνίοτε δὲ ἀκολουθεῖ καὶ τελικὰ μόρια. Ἐν τῇ τοιαύτῃ χρήσει τὸ **ἄν** φαίνεται ὡς ἀνῆκον εἰς τὴν ἀναφ. λέξιν καὶ συνάπτεται μετ' αὐτῆς, οἷον, **ὅς ἄν**, quicumque, **πρὶν ἄν, ἕως ἄν, ὅπως ἄν**, κτλ.· καὶ συχνάκις συγχωνεύεται μετ' αὐτῆς ὡς **ἐάν, ἤν, ἀντὶ εἰ ἄν· ἐπεάν, ἐπήν, ἀντὶ ἐπεὶ ἄν**, κτλ.: ἐν τῇ τοιαύτῃ χρήσει δύναται νὰ παραβληθῇ πρὸς τὸ Λατ. cumque. **1**) ἐν τῇ προτάσει τοῦ ὑποθ. λόγου μετὰ τοῦ **εἰ**. Παρ' Ἀττ. τὸ **εἰ ἄν** συγχωνεύεται εἰς **ἐάν, ἤν**, ἢ **ἄν** (ᾱ): Ὁ Ὅμ. ἔχει συνήθως **εἴ κε** (ἢ **αἴ κε**), ἐνίοτε δὲ **ἤν** (σπανίως **εἰ ἄν**). Ἡ πρότασις οὕτως εἰσαγομένη ἐκφράζει ὑποθετ. κατάστασιν ἐν τῷ μέλλοντι (μετ' ἀποδ. κατὰ μέλλ. χρόν.) ἢ ἐν γένει κατάστασιν (μετ' ἀποδόσεως ἐπαναλαμβανομένης πράξεως): εἰ δέ κεν ὣς ἔρξῃς καί τοι πείθωνται Ἀχαιοί, γνώσῃ ἔπειθ', κτλ., ἐὰν οὕτω πράξῃς, κτλ., Ἰλ. Β. 364· ἦν ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται θνήσκειν = ἐὰν πλησιάσῃ ἡ ὥρα τοῦ θανάτου..., Εὐρ. Ἄλκ. 671. **2**) ἐν ὑποθετικαῖς, ἀναφορικαῖς ἢ χρονικαῖς προτάσεσι. Καὶ ἐνταῦθα τὸ **ἄν** συγχωνεύεται μετὰ τῶν **ὅτε, ὁπότε, ἐπεὶ** καὶ **ἐπειδή**, ὥστε γίνεται **ὅταν, ὁπόταν, ἐπὴν** ἢ **ἐπάν** (Ἴων. ἐπεάν), καὶ **ἐπειδάν**. Ὁ Ὅμ. ἔχει **ὅτε κε** (ἐνίοτε **ὅτ' ἄν** οὐχὶ **ὅταν**), **ὁππότε κε** (ἐνίοτε **ὁπότ' ἄν** ἢ **ὁππότ' ἄν**), **ἐπεί κε** (**ἐπεὶ ἄν**, Ἰλ. Ζ. 412), **ἐπήν**· ὡσαύτως **εὖτ' ἄν**· ἴδε καὶ **εἰσόκε** (εἰς ὅ κε). Ἡ ὑποθετικὴ ἢ ἀοριστολογικὴ δύναμις τοῦ μορίου εἶναι ἐνταῦθα ἡ αὐτὴ ὡς ἐν τῇ κοινῇ προτάσει ὑποθ. λόγου: τάων ἥν κ' ἐθέλωμι φίλην ποιήσομ' ἄκοιτιν, ἠντιναδήποτε ἐξ αὐτῶν ἐπιθυμήσω.., Ἰλ. Ι. 397· ὅταν δὴ μὴ σθένω, πεπαύσομαι, ὁπόταν δὲν θὰ ἔχω δύναμιν.., Σοφ. Ἀντ. 91· ἐχθρὸς γάρ μοι κεῖνος.., ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ, ὁστισδήποτε ἄλλο κρύπτει ἐν τῷ νῷ καὶ ἄλλο λέγει διὰ τῆς γλώσσης, Ἰλ. Ι. 312, ἴδε Δημ. 42. 2, Θουκ. 1. 21. — Ὁ Ὅμ. μεταχειρίζεται τὴν ὑποτακτικὴν κατ' ἀμφοτέρας τὰς μνημονευθείσας συντάξεις (1 καὶ 2) ἄνευ τοῦ **ἄν**, καὶ τὴν ἐλευθερίαν ταύτην ἤσκησαν ἐνίοτε καὶ οἱ Ἀττ. ποιηταί, ὡς Σοφ. Αἴ. 496, Ἀριστοφ. Ἱππ. 698: τὸ **μέχρι** καὶ τὸ **πρὶν** συντάσσονται ἐνίοτε ὑποτακτικῇ ἄνευ τοῦ **ἄν** καὶ παρὰ πεζοῖς ἔτι, π. χ. Θουκ. 1. 137., 4. 16 (μέχρι οὗ), Πλάτ. Φαίδων 62C, Αἰσχίν. 62. 15. **3**) ἐνίοτε ἐν τελικαῖς προτάσεσι μετὰ τῶν μορ. **ὡς, ὅπως** καὶ (Ἐπ.) **ὄφρα**, σαώτερος ὣς κε νέηαι Ἰλ. Α. 32· ὄφρα κεν εὕδῃ Ὀδ. Γ. 359· ὅπως ἂν φαίνηται κάλλιστος Πλάτ. Συμπ. 199Α· μηχανητέον ὅπως ἂν διαφύγῃ ὁ αὐτ. Γοργ. 481Α (ἔνθα τὸ **ὅπως** μετὰ ὁριστ. μέλλοντος εἶναι ἡ κανονικὴ σύνταξις). **Ἵνα** οὐδέποτε λαμβάνει τὸ **ἄν** ἐν τελικαῖς προτάσεσιν: ἐν Ὀδ. Μ. 156 τὸ **κε** ἀνήκει εἰς τὸ ῥῆμα· ἐν δὲ Εὐρ. Ι. Α. 1579, τὸ **ἵνα** εἶναι τοπικὸν καὶ σημαίνει **ὅπου**. **Μή** = μήπως, λαμβάνει τὸ **ἄν** μόνον μετ' εὐκτ. ἐν ἀποδόσει, ὡς ἐν Σοφ. Τρ. 631, Θουκ. 2. 93. (Παραδείγματα τοῦ **ἄν** ἢ τοῦ **κε** μεθ' ὑποτακτ.. ὡς: ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι Ἰλ. Α. 324, καί: ὅτ' ἄν ποτ' ὀλώλῃ Ζ. 448, ἀνήκουσι κατωτέρ. Β. ΙΙ).

ΙΙ. Παρ' Ἐπ. ἐνίοτε μετ' ΕΥΚΤΙΚΗΣ ὡς μεθ' ὑποτακτικῆς, εἴ κεν Ἄρης οἴχοιτο Ὀδ. Θ. 352· ὣς κε.. δοίη δ' ᾧ κ' ἐθέλοι, ὥστε νὰ δυνηθῇ νὰ δώσῃ αὐτὴν εἰς ὁντινα θὰ ἤθελεν, Ὀδ. Β. 54. Ἐν τοιαύτῃ περιπτώσει τὸ **κε** ἢ τὸ **ἄν** δὲν ἐπενεργοῦσιν ἐπὶ τοῦ ῥήματος. Ὁ Ἡρόδ. ἐνίοτε μεταχειρίζεται οὕτω τὸ **ἄν** ἐν τελικαῖς προτάσεσιν, ὡς ἐν 1. 75, 99: — ἐν Ὀδ. Ψ. 135 ὣς κέν τις φαίῃ. τὸ **κεν** ἀνήκει εἰς τὸ ἐν τῇ ἀποδόσει ῥῆμα ὡς ἐν τῷ: ὡς δ' ἂν ἥδιστα ταῦτα φαίνοιτο Ξεν. Κύρ. 7. 5, 81. — Ἐν ταῖς πλείσταις τῶν ἐκδόσεων Ἀττικῶν συγγραφέων ὀλίγα παραδείγματα ὑπάρχουσιν, ἐν οἷς ἀναφορ. ἢ χρον. λέξις παρακολουθουμένη ὑπὸ προτάσεως πλαγίου λόγου διατηρεῖ τὸ **ἄν**, τὸ ὁποῖον θὰ εἶχε μεθ' ὑποτακτ. ἐν τῷ εὐθεῖ λόγῳ· π. χ. Ξεν. Ἀπομ. 1. 2, 6, Πλάτ. Φαίδων 101D (ἴδε Σταλλβ.), Δημ. 865. 24 (ἔνθα ἔτι καὶ τὸ ἐπειδὰν δοκιμασθείην διετήρησεν ὁ Βέκκερος).

ΙΙΙ. σπανίως μετὰ τοῦ **εἰ** καὶ τῆς ΟΡΙΣΤΙΚΗΣ ἐν τῇ προτάσει ὑποθ. λόγου, ἀλλὰ μόνον παρ' Ἐπ., καὶ παρ' αὐτοῖς δὲ οὐχὶ συχνάκις. **1**) μετὰ ὁριστ. μέλλοντος ὡς μετὰ ὑποτακτ.: αἴ κεν Ἰλίου πεφιδήσεται Ἰλ. Ο. 213· οἵ κέ με τιμήσουσι Α. 175, πρβλ. Ὀδ. Π. 282. **2**) ἅπαξ μεθ' ὁριστ. παρῳχ. χρόνου εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμος Ἰλ. Ψ. 526.

ΙV. ἐν τῷ μεταγ. Ἑλληνισμῷ, ὡς παρὰ τοῖς Ἑβδ. καὶ τῇ Κ. Δ., **ἐάν, ὅταν**, κτλ., συντάσσεται μετὰ πάντων τῶν χρόνων τῆς ὁριστ.: ἐὰν οἴδαμεν Ἐπιστ. Ἰω. Α', ε', 15· ὅταν κατέδῃ ἡ ὀρόσος Ἑβδ. Ἀριθμ. ιά, 9).

Β. ΕΝ ΤΗ ΑΠΟΔΟΣΕΙ: Ἐνταῦθα τὸ **ἄν** ἀνήκει εἰς τὸ ῥῆμα καὶ δηλοῖ ὅτι ἡ ἐν τῷ ῥήματι ὑπάρχουσα ἔννοια ἐξαρτᾶται ἔκ τινος ὅρου ἐκφραζομένου ἢ ὑπονοουμένου. Οὕτως, **ἦλθεν** = **ἦλθε· ἦλθεν ἄν** = θὰ εἶχεν ἔλθῃ (ὑπὸ ὅρους τινάς, οἵτινες δυνατὸν νὰ ὁρίζωνται ἢ μή), ἑπομ. = ἠδύνατο νὰ εἶχεν ἔλθῃ: — **ἦλθοι** = εἴθε νὰ ἔλθῃ· **ἦλθοι ἄν** = θὰ ἤρχετο (ὑπό τινας ὅρους), καὶ ἑπομ. δυνατὸν νὰ ἔλθῃ.

Ι. ΜΕΘ' ΟΡΙΣΤΙΚΗΣ: **1**) μετὰ ἱστορικῶν χρόνων, τὸ πλεῖστον παρατ. καὶ ἀορ. **α**) ἐν τῇ ἀποδόσει ὑποθ. λόγων· ὅτε ἡ μὲν πρότασις παριστᾷ τὴν μὴ ἐκπλήρωσιν παρελθόντος ἢ παρόντος ὅρου, ἡ δὲ ἀπόδοσις ἐκφράζει τί ἤθελε γείνῃ ἢ θὰ εἶχε γείνῃ, ἂν ὁ ὅρος ἤθελεν ἐκπληρωθῇ ἢ ἤθελεν εἶναι ἐκπεπληρωμένος. Ὁ παρατ. μετὰ τοῦ **ἄν** ἀναφέρεται εἰς τὸ παρὸν ἢ εἰς συνεχῆ ἢ ἐπαναλαμβανομένην πρᾶξιν ἐν τῷ παρελθόντι (παρ' Ὁμήρῳ πάντοτε τὸ δεύτερον)· ὁ δὲ ἀόρ. ἁπλῶς εἰς πρᾶξιν ἐν τῷ παρελθόντι· ὁ δὲ (σπάνιος) ὑπερσυντέλ. εἰς πρᾶξιν τετελεσμένην ἐν τῷ παρελθόντι ἢ τῷ παρόντι: Πολὺ ἂν θαυμαστότερον ἦν, εἰ ἐτιμῶντο, θὰ ἦτο κατὰ πολὺ ἔτι παραδοξότερον, ἂν ἤθελον τιμᾶσθαι, Πλάτ. Πολ. 489Β· οὐκ ἂν νήσων ἐκράτει, εἰ μή τι καὶ ναυτικὸν εἶχεν, δὲν θὰ ἐγίνετο κύριος νήσων ἐὰν δὲν εἶχε καὶ ναυτικήν τινα δύναμιν, Θουκ. 1. 9· εἰ τότε ταύτην ἔσχε τὴν γνώμην... οὐδὲν ἂν ὧν νυνὶ πεποίηκεν ἔπραξεν, ἂν τότε εἶχε φθάσῃ εἰς ταύτην τὴν γνώμην, δὲν ἤθελε

πράξῃ ὅσα ἔχει κάμῃ τώρα, Δημ. 41. 18· ὃ εἰ ἀπεκρίνω, ἱκανῶς ἂν ἤδη παρὰ σοῦ τὴν ὀσιότητα ἐμεμαθήκη, θὰ εἶχον μάθῃ ἤδη.., Πλάτ. Εὐθύφρ. 14C, ἴδε Ξεν. Ἀν. 2. 1, 4 (ἔνθα συνδυάζονται ἀόρ. καὶ παρατ.). Ἐπὶ ζωηρᾶς ἐκφράσεως μετὰ παρατατικὸν ἀναστρέφομενον εἰς τὸ παρὸν ἐν τῇ προτάσει, ὁ ἀόρ. τῆς ὁριστ. μετὰ τοῦ ἂν ἐ, τῇ ἀποδόσει (οἷον εἶπεν ἄν, ἢ ἀπεκρίνατ' ἄν), ἐνίοτε σημαίνει: ἤθελεν (ἀμέσως) ἀποκριθῇ, ἴδε Πλάτ. Γοργ. 447D, Συμπ. 199D, Εὐθύφρ. 12D. **6)** ἡ πρότασις αὕτη συχνάκις ἐξυπακούεται: τὸ γὰρ ἔρυμα τῷ στρατοπέδῳ οὐκ ἂν ἐτειχίσαντο, διότι δὲν θὰ εἶχον ἀνεγείρῃ τὸ τεῖχος... (ἐὰν δὲν εἶχον κερδήσῃ τὴν μάχην), Θουκ. 1. 11· πολλοῦ γὰρ ἂν ἦν ἄξια, διότι (ἐὰν εἶχεν οὕτως) θὰ ἦσαν μεγάλης ἀξίας, Πλάτ. Πολ. 374D· οὐ γὰρ ἦν ὅ,τι ἂν ἐποιεῖτε, διότι οὐδὲν ὑπῆρχε τὸ ὁποῖον θὰ ἠδύνασθε νὰ πράξητε (ἂν ἠθέλετε δοκιμάσῃ), Δημ. 240. 15. **γ)** χωρὶς νὰ ἐξυπακούηται ὡρισμένη τις πρότασις, ὥστε ἡ ὁριστ. μετὰ τοῦ ἂν ἐκφράζει τί θὰ ἦτο πιθανὸν νὰ συνέβαινε, τί θὰ ἦτο δυνατὸν νὰ εἶχε συμβῇ (καὶ ἴσως πράγματι συνέβη) ἐν τῷ παρελθόντι καὶ οὕτω σχηματίζεται παρῳχημένη δυνητικὴ ἔγκλισις οὕτως εἰπεῖν: ἢ γάρ μιν ζωὸν γε κιχήσεαι, ἢ κεν Ὀρέστης κτεῖνεν ὑποφθάμενος, διότι ἢ ζῶντα θὰ τὸν ἀπαντήσῃς ἢ ὁ Ὀρέστης ἴσως ἤδη ἔχει φονεύσῃ αὐτὸν πρὸ σοῦ, Ὀδ. Δ. 546· ὃ θεασάμενος πᾶς ἄν τις ἀνὴρ ἡράσθη δᾶΐος εἶναι, πᾶς ἄνθρωπος, ὅστις εἶδε τοῦτο (τοὺς «Ἑπτὰ ἐπὶ Θήβας») θὰ ἐπεθύμησε σφόδρα νὰ ἦτο πολεμιστής, Ἀριστοφ. Βάτ. 1022· ἀλλ' ἦλθε μὲν δὴ τοῦτο τοὔνειδος τάχ' ἂν ὀργῇ βιασθὲν μᾶλλον ἢ γνώμῃ φρενῶν, ὅ ἐ. ἴσως θὰ ἦλθε.., Σοφ. Ο. Τ. 523, πρβλ. Πλάτ. Φαῖδρ. 265B· τάχα ἂν δὲ καὶ ἄλλως πως ἐσπλεύσαντες (ἐνν. διέδησαν), ἴσως καὶ νὰ διέδησαν πλεύσαντες εἰς αὐτὴν (τὴν Σικελίαν) κατ' ἄλλον τινὰ τρόπον, Θουκ. 6. 2. Παραδείγματα ὁποῖον τὸ ἐν Ἰλ. Δ. 421, ὑπό κεν ταλασίφρονά περ δέος εἷλεν (= ἐσωτερικὸς φόβος θὰ εἶχε καταλάβῃ καὶ τὸν ἰσχυρὰν καρδίαν ἔχοντα (ἂν εἶχεν ἀκούσῃ τὸν ἦχον)— ἢ (κάλλιον) φόβος ἠδύνατο πολὺ καλὰ νὰ καταλάβῃ καὶ τὸν ἰσχυρὰν καρδίαν ἔχοντα (εὐθὺς ὡς θὰ ἤκουε)--), δεικνύουσι φυσικὴν μετάβασιν ἀπὸ τοῦ γ εἰς τὸ 6. Πρέπει δὲ νὰ ἔχωμεν ἐν νῷ ὅτι ἡ πλήρης ὑποθετικὴ πρότασις (α) δὲν περιλαμβάνει ἀναγκαίως τὴν ἰδέαν ὅτι ἡ ἐν τῇ ἀποδόσει ἐνέργεια δὲν τελεῖται (ἢ δὲν ἐτελέσθη), π. χ. τὰ αὐτὰ ἂν ἔπραξε καὶ πρώτη λαχοῦσα (= εἰ πρώτη ἔλαχεν), θὰ εἶχε πράξῃ τὰ αὐτὰ (ὡς καὶ ἔπραξε) καὶ ἂν ἔτι εἶχε λάβῃ διὰ κλήρου τὴν πρώτην θέσιν, Πλάτ. Πολ. 620D. Ἐν ταῖς συντάξεσι (α) καὶ (6) τὸ ἂν ἐνίοτε παραλείπεται χάριν ῥητορικῆς ἐμφάσεως· ὡς ὅταν λέγωμεν νῦν, ἦτο καλλίτερον ἂν.., ἀντὶ θὰ ἦτο καλλ., Λατ. melius fuerat ἀντὶ melius fuisset: εἰ μὴ.. ἦσμεν, φόβον παρέσχεν, προὐξένησε (ἀντὶ ἤθελε προξενήσῃ) φόβον, Εὐρ. Ἐκ. 1113· οὕτως ὁ Ὁράτιος: me truncus illapsus cerebro sustulerat.. (ἀντὶ sustulisset). **2)** μετὰ ὁριστ. μέλλ.: α) συχνάκις παρ' Ἐπ., ὁπότε ὁ μέλλ. τῆς ὁριστ. λαμβάνει σημασίαν μεσάζουσαν μεταξὺ τοῦ ἁπλοῦ μέλλ. καὶ τῆς εὐκτικῆς μετὰ τοῦ ἂν (κατωτέρ. III.), ὃ δέ κεν κεχολώσεται ὃν κεν ἴκωμαι, καὶ πιθανῶς θέλει θυμώσῃ ἐκεῖνος εἰς ὁντινα ὑπάγω.., Ἰλ. Α. 139· καί κέ τις ὧδ' ἐρέει, καὶ κάποιος θὰ εἴπῃ τυχὸν οὕτως, Δ. 176· ἐγὼ δέ κέ τοι καταλέξω Ὀδ. Γ. 80· οὕτω παρὰ τοῖς λυρικοῖς, Πινδ. Ν. 7. 100. **6)** ὀλίγα παραδείγματα ἀπαντῶσι παρὰ τοῖς Ἀττ. καὶ τοῖς πεζοῖς ἔτι, ἔνθα τὰ χειρόγρ. ἔχουσι τὴν ὁριστ. τοῦ μέλλοντ. μετὰ τοῦ ἂν: ἀπισχυρισάμενοι δὲ σαφὲς ἂν καταστήσετε (ἔνθα ὁ Βέκκερος διώρθωσε καταστήσαιτε) Θουκ. 1. 140· ἥκει, οὐδ' ἂν ἥξει δεῦρο (ὁ Στέφ. ἔχει, ἥκοι)· Πλάτ. Πολ. 615D, πρβλ. Ἀπολογ. 29C, Ξεν. Ἀν. 2. 5. 13.

II. ΜΕΘ' ΥΠΟΤΑΚΤ., μόνον παρ' Ἐπ. Ἢ Ἐπ. ὑποτακτ., ἥτις ἐν μὴ ἐξηρτημέναις προτάσεσιν εἶναι ἐν χρήσει ὡς ὁ μέλλ. τῆς ὁριστ., δύναται νὰ λάβῃ τὸ κε ἢ τὸ ἂν ὡς ὁ μέλλων, εἰ δέ κε μὴ δῴησιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι, ὅ ἐ. «μπορῶ ἐγὼ ὁ ἴδιος νὰ τὴν πάρω,» Ἰλ. Α. 324, πρβλ. 205, Γ. 54.

2) μεταφ. ὡς τὸ Λατ. austerus, τραχύς, στρυφνός, δύσκολος, ποιητὴς Πλάτ. Πολ. 398Α· σοβαρὸς ἀκόμψευτος, πραγματεία Πολύβ. 9. 1, 2, πρβλ. Διον. Ἁλ. π. Δημ. 47· γυμνάδος αὐστηρὸν .. πόνον Ἐπιγράμμ. Ἑλλ. 201. **6)** ἐπὶ ἠθ. ἐννοίας, τραχύς, χαλεπός, σκληρός, αὐ. καὶ αὐθάδης Διον. Ἁλ. 6. 27, πρβλ. Εὐαγγ. κ. Λουκ. 19. 21: — Ἐπίρρ. **-ρῶς** Διον. Ἁλ. π. Δημ. 55, κτλ.

αὐστηρότης, **ητος**, ἡ, τραχύτης, δριμύτης, οἶνου Ξεν. Ἀν. 5. 4, 29· ἡ περὶ οἶνου αὐστ., ἀντιθέτως πρὸς τὸ **γλυκύτης** Πλάτ. Θεαίτ. 178C. **2)** μεταφ. τραχύτης, χαλεπότης, τοῦ γήρως ὁ αὐτ. Νόμ. 666Β, πρβλ. Δίωνα Κ. 56. 3.

αὐτ-άγαθος, **ον**, ὁ, ὁ ἐν ἑαυτῷ ἔχων τὴν ἀγαθότητα, ὁ φύσει ἀγαθός, Θεοδ. Προδρ. Τετράστ. εἰς τὴν Γέν. σ. 10—καὶ οὐσ.

αὐταγαθότης, **ητος**, ἡ, αὐτὴ ἡ ἀγαθότης, Νικήτ. Δαθ. Παράφρ. Γρηγ. Ναζ. σ. 179.

αὐτ-άγγελος, ὁ, ὁ αὐτοπροσώπως ἀναγγέλλων τι, Σοφ. Φ. 568, πρβλ. 500 (ἔνθα διαιρεῖται, πομπόν τε καὐτὸν ἄγγελον)· ὁ φέρων ἀγγελίαν περὶ πράγματος ὅπερ ἰδίοις ὄμμασιν εἶδεν, Θουκ. 3. 33· μετὰ γεν. πράγμ., λόγων αὐτ. Σοφ. Ο. Κ. 333, πρβλ. Πλούτ. 2. 489Ε.

αὐτ-άγγελτος, **ον**, αὐτὸς ὑφ' ἑαυτοῦ ἀγγελλόμενος, αὐτοάγγελτος, αὐτάγγελτος ἡ συμφορὰ Βασίλ. τ. 2. σ. 956D.

αὐτ-άγητος, **ον**, (ἄγαμαι), ὁ ἑαυτὸν θαυμάζων, «αὐτάγητοι· ἀγάμενοι ἑαυτὰς καὶ θαυμαστικῶς ἔχουσαι ἑαυτῶν, Ἴων Ἀλκμήνῃ (ἀποσπ. 8)· ἔνιοι δὲ αὐθάδεις. καὶ Ἀνακρέων οὕτω κέχρηται» Ἡσύχ.

αὐταγρεσία, ἡ, ἐκουσία πρᾶξις ἣν πράττει τις ἀφ' ἑαυτοῦ οὐδενὸς ἐπιτάξαντος, ἐξ αὐταγρεσίης Καλλ. Ἀποσπ. 120. 2.

αὐτ-άγρετος, **ον**, (ἀγρέω) ποιητ. ἀντὶ τοῦ **αὐθαίρετος**, ἐν τῇ κυρίᾳ αὐτοῦ σημασίᾳ, εἰ γάρ πως εἴη αὐτάγρετα πάντα βροτοῖσι, πρῶτόν κεν τοῦ πατρὸς ἐλοίμεθα νόστιμον ἦμαρ, «τοῦτέστιν, εἴπερ αὐθαίρετα ἢ μᾶλλον αὐτόθεν ἀγειρόμενα ἢ ἀγρευόμενα καὶ πάραυτα γινόμενα ἦν τοῖς ἀνθρώποις πάντα τὰ πράγματα, πρῶτον ἂν τὸν τοῦ Ὀδυσσέως εἰλόμεθα νόστον» (Εὐστ.), Ὀδ. Π. 148· σοί δ' αὐτάγρετόν ἐστι δαήμεναι, εἶναι εἰς τὴν ἐξουσίαν σου, ἐξαρτᾶται ἀπὸ σοῦ, Ὕμν. Ὀμ. εἰς Ἑρμ. 474. **2)** ὁ ἰδίαις χερσί τινος ἀγρευθείς, εἰ μὴ κούρην αὐτάγρετον .. ἄξουσιν Ἀπολλ. Ῥόδ. Δ. 231. **II.** ἐνεργητ. λαμβάνων ἢ ἐκλέγων ἐλευθέρως, Σιμωνίδ. Ἰαμβογρ. 1. 19, Ὀππ. Ἁλ. 5. 588.

αὐτ-άδελφος, **ον**, ἀδελφικός, ὁ ἀνήκων εἰς αὐτὸν τὸν ἀδελφόν, ἀλλ' αὐτάδελφον αἷμα δρέψασθαι θέλεις; Αἰσχύλ. Θήβ. 718, Εὐμ. 89· ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα Σοφ. Ἀντ. 1. **II.** ὡς οὐσιαστ. ὁ καθ' αὐτὸ ἀδελφός, ὁ ἐκ τῶν αὐτῶν γονέων ἀδελφὸς ἢ ἀδελφή, αὐτόθι 503, 696.

αὐτ-αίτιος, **ον**, ὁ ἑαυτοῦ αἴτιος, Ἐκκλ.

αὐτ-αιώρητος· «ὑφ' ἑαυτοῦ μετεωριζόμενος» Ἡσύχ.

αὐτ-άλκης· «ζωμός. καὶ ὁ αὐτάρκης» Ἡσύχ.

αὐτ-άναξ, **κτος**, ὁ, = **αὐτοκράτωρ**, Κ. Μανασσ. Χρον. 2343, 2468, κ. ἄλλοι.

αὐτανδρί, ἐπίρρ. τοῦ ἑπομ., Πολύβ. 3. 81, 11.

αὐτ-ανδρος, **ον**, (ἀνήρ) «σὺν αὐτοῖς τοῖς ἀνδράσιν» Ἡσύχ., ναῦς αὐτάνδρους λαβεῖν, κτλ., Πολύβ. 1. 23, 7, Ἀπολλ. Ῥόδ. Γ. 582· πρβλ. Θουκ. 2. 90· ἐντεῦθεν, τὸν τῆς πόλεως λαὸν αὐτάνδρον, ὁλόκληρον τὸν ἐξ ἀνδρῶν συνιστάμενον λαὸν τῆς πόλεως, Ἰωσήπ. Ἰουδ. Π. 3. 7, 31.

αὐτ-ανέψιος, ὁ, ἀνεψιός, δηλ. ἐξάδελφος, «οἱ μέντοι αὐτανέψιοι οὐδὲν πλέον τῶν ἀνεψιῶν, ἀλλ' ἀντικρυς ταὐτόν» Πολυδ. Γ', 28· πῶς φῶ, πρὸς τίνος τ' ἀφαιρεθεὶς ἥκειν γυναικῶν αὐτανέψιον στόλον; Αἰσχύλ. Ἱκ. 933, 984, Εὐρ. Ἡρακλ. 987· αὐτανέψιος δὲ τοῦ νῦν ὄντος Ἀλκιβιάδου Πλάτ. Εὐθύδ. 275Β· «αὐτανέψιος... πρῶτος ἐξάδελφος» Εὐστ. Πονημάτ. 271, 90· τὸ θηλ. **-ία** παρὰ Λυκόφρ. 811.

αὐτάντης, «ὁ προεστὼς τινος πράγματος. καὶ αὐθεντῶν» Ἡσύχ. ἔνθα ἡ γραφὴ εἶναι **αὐτάντας** ὡς ὀνομαστικήν.

αὐτανίδας· «αὖθις πάλιν» Ἡσύχ.

αὐτ-απειρία, ἡ, αὐτὸ τὸ ἄπειρον, ἀπειρίαν ἄπειρον αὐταπειρίαν Ρήτορες (Walz) τ. 3. σ. 476, 23: — ὡσαύτως, **αὐτοπειρία** Πρόκλ.

αὐτάρ, σύνδεσμ., ἀλλά, ὅμως, ἀλλ' ὅμως, πρὸς τούτοις, Ὅμ.· κυρίως ἐπιτιθέσεως, π. χ. ἐν Ὀδ. Ν. 286. οἱ δ' ἐς Σιδονίην... ᾤχοντ'· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ· ἀλλ' ὡσαύτως πρὸς δήλωσιν ταχείας διαδοχῆς λεπτομερειῶν, π. χ. Ἰλ. Β. 405· ἀντιτίθεται τῷ μὲν, Ἥφαιστος μέν .., αὐτὰρ ἄρα Ζεὺς Ἰλ. Β. 102 κέξ. πρβλ. Ὀδ. Τ. 513 κέξ.· αὐτάρ τοι, ἀλλ' ὅμως, ἐν τούτοις, αὐτάρ τοι καὶ κείνῳ ἐγὼ παραμυθησαίμην Ἰλ. Ο. 45. — ὡς τὸ **ἀτάρ** τίθεται πάντοτε ἐν ἀρχῇ προτάσεως ἢ περιόδου. — Ἐπ. τύπος τοῦ ἀτάρ, παραληφθεὶς ὑπὸ τοῦ Ἑρμίππ. ἐν «Φορμοφόροις» 1. 17, ἐν ἑξαμέτρῳ.

αὐταρέσκεια, ἡ, οὐσιαστ. τοῦ **αὐτάρεσκος**, τὸ ἀρέσκειν ἑαυτῷ, Συμμ. Ἱ. Δ., Βασίλ. ΙΙΙ 929C.

αὐτ-άρεσκος, **ον**, ἑαυτῷ ἀρέσκων, αὐθαίρετος, αὐθάδης, Ἰγνάτ. πρὸς Ἐφεσ. 47, 19 ἔκδ. Cotel., Θεόδ. Στουδ. σ. 28, κλ., ἴδε Λοβ. Φρύν. 621. Τὸ ῥῆμα **αὐταρεσκέω**, εἶμαι αὐτάρεσκος, Γεωρ. Παχυμ. Μιχ. Παρακλ. 5. 263D.

αὐτ-άρεστος· «ὁ ἐφ' ἑαυτῷ ἀγαλλόμενος», Ἡσύχ.

αὐτάρκεια, ἡ, τὸ οὐσ. τοῦ **αὐτάρκης**, τὸ νὰ ἀρκῆται τις εἰς ὅσα ἔχει, τὸ νὰ ζῇ τις ἀνέτως ἐκ τῆς ἑαυτοῦ περιουσίας, οἰκονομικὴ ἀνεξαρτησία, Πλάτ. Φίλ. 67Α, Ἀριστ. Ἠθ. Ν. 1. 7, 5, κ. ἀλλ.· αὐτ. ζωῆς ὁ αὐτ. Ρητ. 1. 5, 3· κτήσεως ὁ αὐτ. Πολ. 1. 8, 14· ἡ τῆς τροφῆς αὐτάρκεια ὁ αὐτ. π. Ζ. Γεν. 4. 8, 6.

αὐταρκέω, παρέχω τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα, αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἐπήρκησεν αὐτῷ, Ἑβδ. (Δευτ. λϛ', 10). Τὸ χωρίον τοῦτο κατὰ τὸ νῦν Ἑβρ. κείμενον εἶναι: «ἐν γῇ ἐρήμῳ εὗρηκεν αὐτόν»· Ἴδε μετάφρ. Ἱερ. Γραφ. τῆς Βιβλ. Ἑταιρ.

αὐτάρκης, **αὐτάρκες**, (ἀρκέω) ὁ ἐπαρκὴς ἑαυτῷ, αὐτὸς καθ' ἑαυτὸν ἐπαρκής, ὁ ἱκανὰ ἔχων, ὁ μὴ ἔχων ἀνάγκην τοῦ ἄλλου, ὡς δὲ καὶ ἀνθρώπου σῶμα ἓν οὐδὲν αὐτάρκες ἐστι Ἡρόδ. 1. 32· αὐτ. εἰς πάντα Πλάτ. Πολιτικ. 271D· οὐκ αὐτ., ἀλλὰ πολλῶν ἐνδεὴς ὁ αὐτ. Πολ. 369Β· αὐτάρκη φρονεῖν Εὐρ. Ἀποσπ. 29· νέα δὲ νηδὺς αὐτάρκης τέκνων, «ἡ γὰρ νέα νηδὺς τῶν τέκνων ἑαυτῇ ἀρκεῖν καὶ βοηθεῖν βούλεται· ὅ ἐστιν, ἀνύειν βούλεται τὰς ἐπιθυμίας» (Σχόλ.), Αἰσχύλ. Χο. 757· χώρα ἢ πόλις αὐτάρκης, ἐπαρκὴς ἑαυτῇ, Θουκ. 1. 37, πρβλ. 2. 36, Ἀριστ. Πολιτικ. 1. 2, 8., 3. 9, 12, κτλ.· αὐτ. πρός τι, ἐπαρκῶς, ἰσχυρῶς πρός τι πρᾶγμα, Θουκ. 2. 51, Ξεν. Ἀπομν. 4. 8, 11: — μετ' ἀπαρ., ἱκανός, ἐπαρκής, εἰ γὰρ αὐτάρκη τὰ ψηφίσματα ἦν ἢ ὑμᾶς ἀναγκάζειν, κτλ., Δημ. 32. 12, πρβλ. Ξεν. Κύρ. 4. 3, 4· ἐνθ' οἰμαι τὸν ἐγρεμάχαν Θησέα καὶ τὰς διστόλους ἀδμῆτας ἀδελφὰς αὐτάρκει

τάχ' ἐμπίξειν βοᾷ, ἔνθα νομίζω ὅτι ὁ διεγείρων τὰς μάχας Θησεὺς καὶ αἱ δύο παρθένοι ἀδελφαὶ θὰ συναντηθῶσιν ἐν μέσῳ πολεμικῶν κραυγῶν ἀνδρῶν ἱκανῶν πρὸς σωτηρίαν, Σοφ. Ο. Κ. 1057, ἴδε σημ. Jebb:—ἐπὶ ἀρετῆς, Ἰλ. Ν. 1.7,6, κτλ.—Ἐπίρρ. αὐτάρκως ἔχειν ὁ αὐτ. Ρητ. 1. 6, 2· ὑπερθ., αὐταρκέστατα ζῆν Ξεν. Ἀπομν. 1. 2, 14.

αὐταρχέω, κυβερνῶ μοναρχικῶς, εἶμαι μονάρχης, μοναρχῶ, εἰ δ' οὖν καὶ φαῦλός τις αὐταρχήσειεν, ἀλλὰ τοῦ γε πλήθους τῶν ὁμοίων αἱρετώτερός ἐστιν Δίων Κ. 44. 2, Κ. Μανασσ. Χρον. 2978, καὶ μετὰ γεν., αὐτόθι 5914.

αὐτ-αρχή, ἡ, ἡ πρώτη ἀρχή, ἡ ἀρχὴ τῶν ἀρχῶν, Σιμπλίκ. εἰς Ἐπίκτ. σ. 9, ὁ τύπος **αὐτοαρχὴ** ἁπαντᾷ παρ' Ἰουλιαν. ἐν Ἐπιστ. σ. 455Β.

αὐταρχία, ἡ, ἀπόλυτος ἐξουσία, μοναρχία, Δίων Κ. 45. 1.

αὔταρχος, ον, δεσποτικός, ἀπόλυτος, ἰσχὺς Δίων Κ. 61. 7:—ὡς οὐσιαστ. = **αὐτοκράτωρ**, Κ. Μανασσ. Χρον. 3867, 5410, 6245.

αὐταύτου, ἤ **-τω, αὐταύτης**, Δωρ. ἀντὶ **ἑαυτοῦ, ἑαυτῆς**· πεπαίδευται γὰρ αὐταύτας ὕπο Ἐπίχ. 96 Ahr.· πρὸ αὐταύτας, δι' ἑαυτήν, Συλλ. Ἐπιγρ. (προσθῆκαι) 5776, συχνάκις ἐν Δωρ. Ἀποσπάσμασι παρὰ Στοβ., πρβλ. Ἀπολλώνιον π. Ἀντωνυμ. 79Β, Πόρσωνος Tracts 277, Ahrens Δωρ. Διάλ. 273: — **ὡσαύτως, αὐτούτα**, ἀντὶ **ἑαυτοῦ**, Ἐπιγρ. Σεγέστ. ἐν Συλλ. Ἐπιγρ. 5542C, 5543.

αὐταχάτης, ὁ, autachates, λίθος τις τῶν τιμίων, Πλίν. Η. Ν. 37. 54, ἀλλ' ὁ Jan ἐξέδωκεν αἰθαχάτης, ὀρθότερον ἴσως διὰ τὰ ἑπόμενα· quae, cum uritur, murram redolet. Καὶ ἡ γραφὴ δὲ αἰθαχάτης λείπει ἐν τῷ Θησ. Στ. Κουμαν. Συναγ. Λ. Ἀθ.

αὖτε, ἐπίρρ. (**αὖ, τε**,—ἔνθα τὸ **τε** εἶναι πλεοναστικὸν ὡς ἐν τοῖς **ὅστε, ἄλλοτε**, κτλ.) ἐν χρήσει παρ' Ὁμ. ὡς τὸ **αὖ**, **I.** ἐπὶ χρόνου, Ἰλ. Α. 202, 340., Β. 105, 225, 370, κτλ. **II.** πρὸς δήλωσιν ἀκολουθίας, ἐπαλληλίας, πάλιν, περαιτέρω, πρὸς τούτοις, προσέτι, ἕκτον δ' αὖτ' Ὀδυσῆα Ἰλ. Β. 407· Δαρδανίων αὖτ' ἦρχεν Αἰνείας αὐτόθι 819, πρβλ. 826, κτλ.· κυρίως ἐπὶ ἀγορεύσεων, τὸν δ' αὖτε προσέειπε Γ. 58, κτλ.· ἦδ' αὖθ' ἔρπει Σοφ. Τρ. 1009. **2)** ἐξ ἄλλου μέρους, ἐκ τοῦ ἐναντίου, ἐντεῦθεν ἐνίοτε ἀντιτίθεται τῷ **μὲν** ἀντὶ τοῦ **δέ**, Ἰλ. Α. 237, Ὀδ. Χ. 5, Ὕμν. Ὁμ. εἰς Δήμ. 137, Κρατῖνος ἐν «Πηλαίᾳ» 1, Ἀριστοφ. Νεφ. 595, Σφ. 1015, Ἀνσ. 66, ἢ συνδυάζεται μετὰ τοῦ δέ, Αἰσχύλ. Πέρσ. 183, Θήβ. 5. Ἀγ. 553:— οὗτος ὁ τύπος εὕρηται συχν. παρ' Αἰσχύλ., ἅπαξ παρὰ Σοφ., οὐδαμοῦ παρ' Εὐρ.· ἂν καὶ παρὰ κωμικοῖς δὲν εἶναι σπάνιος, παρὰ τοῖς πεζοῖς ἐν τούτοις οὐδόλως φαίνεται ἀπαντῶν που.

αὐτ-εθελεί, ἐπίρρ. ἐξ ἰδίας θελήσεως, ἑκοντί, ἐθελοντί, Ἀττ. Ἐπιγραφ. ἐν Βοικχ. Πολ. Οἰκ. Ἀθ.

αὐτεῖ, Ἐπίρρ. Δωρ. ἀντὶ **αὐτοῦ**, Ἀπολλώνιος π. Συντάξ. 335, Γρηγ. Κορίνθου 351.

αὐτ-είκελος, σφόδρα ὅμοιος, ἀρετὴν ἐπιφαίνουσα διαβόλῳ αὐτείκελον, ὁμοίαν αὐτῷ τῷ διαβόλῳ, Εὐστ. Πονημάτ. 73, 38.

αὐτ-ειρήνη, ἴδε **αὐτοειρήνη**.

αὐτ-εκδίκητος, ον, αὐτὸς ἑαυτὸν ἐκδικῶν, Θεόδ. Στουδ. σ. 229.

αὐτ-έκμαγμα, τό, ἀπαράλλακτον καθομοίωμα, Ἀριστοφ. Θεσμ. 514.

αὐτ-έλεγκτος, ον, αὐτὸς ἑαυτὸν ἐλέγχων, Ἀθανάσ. τ. 1. σ. 924C, Εὐστ. Ὀδ. 1805, 36.

αὐτ-ελεύθερος, ὁ φύσει ἐλεύθερος, Παχυμ. εἰς Δ. Ἀρεοπ. π. Οὐρ. Ἱερ. 8. 1.

αὐτ-εναντίος, ον, αὐτὸς ἑαυτῷ ἐναντίος, ἀντιφάσκων ἑαυτῷ, Ἰωαν. Κλίμακ. σ. 259, 31.

αὐτ-ενέργητος, ον, ἢ **αὐτοενέργητος**, ὁ ἀφ' ἑαυτοῦ ἐνεργῶν, Πρόκλ. εἰς Πλάτ. Ἄλκ. σ. 18·—«τὸ σημαῖνον ἐνέργειαν αὐτενέργητον καλεῖται· τὸ δὲ πάθος αὐτοπαθές» Γραμματ.

αὐτ-ενίαυτος, ον, τοῦ αὐτοῦ ἐνιαυτοῦ, πρὸ δέ γε πάντων ἐκεῖνο παραφυλάττειν προσήκει, ὅπως μὴ αὐτενιαύτῳ κόπρῳ χρήσωνται οἱ γεωργοί Γεωπ. 2. 21, 10.

αὐτ-εξουσία, ἡ, ἀπόλυτος ἐξουσία, Ἀρρ. Ἐπίκτ. 4. 1, 59.

αὐτ-εξούσιος, ον, αὐτὸς ἑαυτοῦ κύριος, ἐλεύθερος, Ἀρρ. Ἐπίκ. 4. 1, 62· ἐπὶ αἰχμαλώτων, ὁ ἀπολυθεὶς ἄνευ ὅρων, Διόδ. 14. 105·—**τὸ αὐτεξούσιον**, μὴ τῷ αὐτεξουσίῳ εἰς δέον κεχρημένων Βαβρ. 49. Ἐπίρρ. **-ως** Ἰωσήπ. Ἰουδ. Π. 5. 13, 5.

αὐτ-εξουσιότης, ητος, ἡ, ἀνεξάρτητος ἐξουσία, τὸ αὐτεξούσιον, Ἰωσήπ. Μακκ. 3, Ἐκκλ.

αὐτ-επάγγελτος, ον, ὁ ἀφ' ἑαυτοῦ, αὐθορμήτως ποιῶν τι χωρὶς νὰ παρακινηθῇ ὑπό τινος, Λατ. sponte, αὐτεπάγγελτος...ἠθέλησε συμβαλέσθαι χρήματα Ἡρόδ. 7. 29· αὐτ. ὑποστῆναι Εὐρ. Ἡρ. Μαιν. 706· παρεῖναι, χωρεῖν Θουκ. 1. 33., 4. 120· βοηθεῖν Ἰσοκρ. 7C· παραχωρῆσαι Δημ. 247. 25. Ἐπίρρ. **-τως** Φίλων 2. 173.

αὐτ-επαίνετος, ον, αὐτὸς ἑαυτὸν ἐπαινῶν, αὐτεπαινέτους μισεῖ ὁ Θεὸς Κλήμ. Ρώμ. Ἐπιστ. π. Κορινθ. 30, σ. 165C.

αὐτ-επίβουλος, ον, ὁ αὐτὸς ἑαυτῷ ἐπιβουλεύων, «αὐτοφονεύς» καθ' Ἡσύχ., Μῦθοι Αἰσώπ. Notices et Extr. τ. 2. σ. 699. Ὁ Κοραῆς ὑποπτεύει μήπως ἦτο **ἀντεπίβουλος**, ἴδε ἔκδ. Κοραῆ σ. 481.

αὐτ-επισκοπος, ον, ὁ, αὐτόπτης, Κύριλλ. Δ. εἰς Ἰωαννσ. 165.

αὐτ-επίσπαστος, ον, αὐτὸς ἐφ' ἑαυτοῦ ἐπισπώμενος, καθ' Ἡσύχ. «αὐθεπισπάστῳ· αὐθαιρέτῳ».

αὐτ-επιστατέω, αὐτὸς ἐπιστατῶ αὐτοπροσώπως, «ὁ βασιλεὺς αὐτεπιστατήσας τῷ τόπῳ, ἠὐτούργησεν ὅσα συνέτεινε πρὸς τὴν τοῦ ὕδατος ἔκρηξιν»,—καὶ οὐσ. **αὐτεπιστασία**, ἡ, τὸ αὐτεπιστατεῖν, Σχόλ. εἰς Θεόκρ. 7. 6.

αὐτ- ἢ αὐτο-επιστήμη, ἡ, ἡ ἀπόλυτος ἐπιστήμη, αὐτὴ ἡ ἐπιστήμη, Πρόκλ. Πλάτ. Θεολ. 4. 14, Πλωτῖν. τ. 2. σ. 1009, 2.

αὐτ-επιτάκτης, ου, ὁ, ὁ ἔχων τὴν ἐξουσίαν νὰ ἐπιτάσσῃ, Πλάτ. Πολιτ. 260Ε.

αὐτεπιτακτικός, ή, όν, ὁ ἀνήκων εἰς ἀπόλυτον ἐξουσίαν· ἡ **αὐτεπιτακτικὴ** (ἐνν. τέχνη), ἡ τέχνη τοῦ ἄρχειν, μοναρχικῶς, Πλάτ. Πολιτ. 260Ε, κτλ.

αὐτ-επίτακτος, ον, ὁ ἑαυτὸν ἐπιτάσσων, ἀφ' ἑαυτοῦ, Πολυδ. 1. 156, Συνέσ. 148D.

αὐτ-επώνῡμος, ον, ὁμώνυμος, τῷ αὐτῷ ὀνόματι καλούμενος, σοῦ πατρὸς αὐτεπώνυμον Εὐρ. Φοιν. 769.

αὐτ-ερέτης, ου, ὁ, ὁ ἐν ταὐτῷ στρατιώτης καὶ ἐρέτης· «οὕτω γὰρ Θουκυδίδης ὠνόμασε τοὺς καὶ ἐρέττοντας καὶ ἀπομαχομένους» (Πολυδ. Α', 95), Θουκ. 1. 10., 3. 18., 6. 91· πρβλ. Βοικχ. Π. Οἰ. 1. 373.

αὐτ-έρως, ὁ, αὐτὸς ὁ ἔρως, Θεὸς αὐτέρως, αὐταγάπη Θεόδ. Πρόδρ. Ἐπ. 98 ἡ Ἀν. Boiss. τ. 4. σ. 440, 3.

ἀῦτέω [ῡ]; ἐν χρήσει παρ' Ὁμ. μόνον ἐν τῷ γ' προσ. τοῦ παρατ. καὶ παρὰ τοῖς Ἀττ. ποιηταῖς (οὐδαμοῦ παρὰ Σοφ.) μόνον κατ' ἐνεστ. καὶ παρατ.· **ἠῦτησα** Νόνν. Δ. 11. 185, Ἐπιγράμμ. Ἑλλ. 995. 7, πρβλ. **ἐπαϋτέω** (**αὔω**, κραυγάζω). Βοῶ, κράζω μεγάλῃ τῇ φωνῇ, «χουτάζω», μακρὸν ἀῦτει, «μέγα ἑβόα» (Σχόλ.), Ἰλ. Υ. 50· καὶ μέγ' ἀῦτει Φ. 582· κληδὼν ἀῦτεῖ Αἰσχύλ. Ἀγ. 927·—μετὰ συστοίχ. αἰτιατ., βοὰν ἀῦτῶ Εὐρ. Ἑκ. 1092· τοιαῦτ' ἀῦτεῖ Αἰσχύλ. Θήβ. 284· ἀῦτεῖ δ' ὀξὺ ὁ αὐτ. Πέρσ. 1059· τί τινι Εὐρ. Ἡλ. 757, κτλ. **2)** μετ' αἰτ. προσ., καλῶ, «φωνάζω», ἀῦτει πάντας ἀρίστους Ἰλ. Α. 258, Εὐρ. Ἱππ. 168· τί Ζῆν' ἀῦτεῖς; τί ἐπικαλεῖσαι τὸν Δία; Ἀριστοφ. Λυσ. 717·—μετ' αἰτ. προσ. καὶ ἀπαρεμφ., ὑμᾶς δ' ἀῦτῶ .. κοιμίσαι ξίφη Εὐρ. Ρῆσ. 668. **3)** ἐπὶ πραγμάτων, ἴδε ἐν λ. **αὖος** I.

ἀῦτή [ῡ], ἡ, (**αὔω**, βοῶ, φωνάζω): — κραυγή, βοή, φωνή, κυρίως κραυγὴ πολεμική, βοὴ μάχης, ἀλαλητός, θόρυβος, ἀῦτὴ δ' οὐρανὸν ἷκεν Ἰλ. Β. 153, κτλ.· φιλεῖ δὲ ὁ Ὅμ. νὰ ἐκφέρῃ τὴν λέξιν καὶ μετ' ἄλλης, ἀῦτή τε πτόλεμός τε Ἰλ. Ζ. 328, κτλ.· κίνδυνος ὀξείας ἀῦτᾶς Πινδ. Ν. 9. 83· πρβλ. **βοή**· ἐν γένει, γλώσσης ἀῦτὴν Φωκίδος Αἰσχύλ. Χο. 564: — ἐπὶ τοῦ ἤχου τῆς σάλπιγγος, ὁ αὐτ. Πέρσ. 395: — ἐπὶ τοῦ τριγμοῦ τοῦ ἄξονος, Παρμεν. 8 Mullach καὶ Karst. (Γράφεται **ἀϝυτὰ** ἐν Κερκυρ. Ἐπιγρ., Ἐπιγρ. Ἑλλ. 180. 3).

αὐτήκοος, ον, (ἀκούω) ὁ ἰδίοις ὠσὶν ἀκούων τινός, μ. γεν. αὐτήκοοι δὲ βουληθέντες ἔτι γενέσθαι αὐτοῦ Παυσανίου τι λέγοντος Θουκ. 1. 133, Πλάτ. Νόμ. 658C, καὶ ἐμπροθέτως, παρ' αὐτῶν τῶν Περσῶν ... αὐτήκοον καταστάντα Φωτ. Βιβλ. Κῶδ. 12, σ. 36, 3.

αὐτ-ῆμαρ, ἐπίρρ. = **αὐθημερόν**, εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ Ἰλ. Δ. 81, κτλ.

αὐτημερόν, Ἰων. ἀντὶ **αὐθημερόν**, ἴδε **αὐθήμερος**.

αὐτι-γενής, ές, Ἰων. ἀντὶ **αὐθιγενής**.

αὐτίκᾰ [ῐ], ἐπίρρ. (αὐτός) εὐθύς, πάραυτα, παραχρῆμα, αὐτίκα δ' ἔγνω Παλλάδ' Ἀθηναίην Ἰλ. Δ. 199· αὐτίκα γάρ μνήσονται Ἀχαιοὶ πατρίδος αἴης Δ. 172·—καὶ μετ' ἐπιτάσεως, ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ Ὀδ. Κ. 111· Κάλχας δ' αὐτίκ' ἔπειτα θεοπροπέων ἀγόρευσε Ἰλ. Β. 322, κτλ.· μετὰ μετοχ., οἱ δέ τοι αὐτίκ' ἰόντι κακὰ φράσσονται ὀπίσσω, μόλις ἀπέλθῃς, Ὀδ. Β. 367· οὕτω καὶ παρὰ πεζοῖς, αὐτίκα γενόμενος, εὐθὺς ὅτε ἐγεννήθη, Ἡρόδ. 2. 146· αὐτίκα μάλα ὁ αὐτ. 7. 103, Πλάτ. Πρωτ. 318Β· αὐτίκα δὴ μάλα, εὐθύς, ἀμέσως (ἐν τέλει περιόδου), Δημ. 521. 7., 522. 14, κτλ. **2)** νῦν, ἐν τῷ παρόντι, ἅμα τ' αὐτίκα καὶ μετέπειτα Ὀδ. Ξ. 403· ὁ μὲν αὐτίχ', ὁ δ' ἤδη Αἰσχύλ. Χο. 1020· ἠδὺ μὲν γὰρ αὐτίκα .., ἐν δὲ χρόνῳ, κτλ., Εὐρ. Ἀνδρ. 780· οὕτω παρὰ Θουκυδ. (1. 36) ἀντιτίθεται τὸ **αὐτίκα** πρὸς τὸ **μέλλον**, πρβλ. 2. 41:—μετ' οὐσιαστ., τὴν μὲν αὐτίχ' ἡμέραν Σοφ. Ο. Κ. 433· ὁ αὐτίκα φόβος, ὁ στιγμιαῖος φόβος, Θουκ. 4. 108, πρβλ. 1. 41, 124, Δημ. 346. 10. **3)** ὡσαύτως ἐπὶ μελλοντικῆς πως ἐννοίας, ἐν βραχεῖ, μετ' οὐ πολύ, Λατ. mox, Σοφ. Φ. 14, 1001, Ἀριστοφ. Πλ. 347, κτλ.· ἀντιτίθεται τῷ **νῦν**, Πλάτ. Γοργ. 495C, Πολ. 420C· ἐμπέπτωκεν εἰς λόγους, οὓς αὐτίκα μᾶλλον ... ἁρμόσει λέγειν Δημ. 240. 2. **4)** αὐτίκα τε .. καὶ .. ὡς τὸ ἅμα τε .. καὶ .., εὐθὺς ὡς, Λατ. simul ac, Ἡρόδ. **II.** ἐπὶ παραδείγματι, καὶ λοιπόν, λοιπόν, αὐτίκα γὰρ ἄρχει διὰ τίν' ὁ Ζεύς; Ἀριστοφ. Πλ. 130, πρβλ. Ὄρν. 166, 573, Πλάτ. Πρωτ. 359D, Πολ. 340D, κτλ.· αὐτίκα δὴ μάλα, παραδείγματος χάριν τώρα, Δημ. 778. 25:—ἡ χρῆσις αὕτη εἶναι μόνον Ἀττ., ἴδε Koen Γρηγόρ. Κορίνθου σ. 416, Ruhnk. Τίμ. σ. 56, καὶ πρβλ. **εὐθύς**. **III.** = **αὖθις**, Ἄρατ. 880, 1076. (Ὁ Βούττμ. (Λεξίλ. ἐν λ. **εὖτε** σημ. 1) παρά-

γει τὸ **αὐτίκα** ἐκ τοῦ: τὴν αὐτὴν ἵκα προϋποθέτων ὅτι ὑπῆρχε παλαιά τις λέξις *ἵξ, ϝἵξ, ἀντιστοιχοῦσα πρὸς τὴν Λατ. vice, vices: — ἀλλ' ἴδε Hartung Partik 1. 157).

αὖτις, Ἰων. καὶ Δωρ. ἀντὶ τοῦ **αὖθις** ὃ ἴδε.

αὐτίτης [ῑ], **ου**, ὁ, (αὐτὸς) ὁ καθ' ἑαυτόν, μονήρης, Ἀριστ. παρὰ Δημ. Φαλ. 144. **II**. ὡς οὐσιαστ., αὐτίτης (ἐνν. οἶνος) ὁ, αὐθιγενής, ἐντόπιος, ἐπιχώριος, Τηλεκλείδ. ἐν «Ἀμφικτύοσι» 9, ἀπαράχυτος, ἀμιγής, ἀγνός, «οἶνος αὐτίτην τὸν ἀπαράχυτον ὡς καὶ Πολύζηλος ἐν Δημοτυνδάρεῳ φησιν» Ἀποσπ. Κωμ. Meineke τόμ. Β', σ. 477· ἔκδ. ἐλάσσων, Ἰππ. 492. 4.

αὐτμή, ἡ, (ἄημι) ἀναπνοή, πνοή, εἰς ὃ κ' αὐτμὴ ἐν στήθεσσι μένῃ Ἰλ. Ι. 609, κτλ.· τεῖρε δ' ἀϋτμὴ Ἡφαίστοιο, ἡ πυρώδης πνοὴ τοῦ Ἡφαίστου, Ἰλ. Φ. 366· ὅσσον πυρὸς ἵκετ' ἀϋτμή Ὀδ. Π. 290· (ἐντεῦθεν ἀπολ. πρὸς δήλωσιν θερμότητος Ι. 389)· κατὰ πληθ., περισχίζοντο δ' ἀϋτμαὶ Ἡφαίστου Κόντ. Σμ. 13. 329: — ἐπὶ φυσητήρων, εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι Ἰλ. Σ. 471· ἀνέμων ἀμέγαρτον ἀϋτμήν Ὀδ. Λ. 400. **2**) ὀσμή, καὶ τότε με κνίσης ἀμφήλυθεν ἡδὺς ἀϋτμὴ Μ. 369, πρβλ. Ἰλ. Ξ. 174· θήρειος ἀϋτμὴ ὀσμὴ κυνηγίου, Ὀππ. Κ. 1. 467.

ἀϋτμήν, ένος, ὁ, = **αὐτμή**, κἀδ δ' ἄρα οἱ κεφαλῆς χέ' ἀϋτμένα δῖος Ὀδυσσεὺς Ἰλ. Ψ. 765· ἀνέμων ἐπ' ἀϋτμένα χεῦεν Ὀδ. Γ. 289.

αὐτο-αγαθόν, τό, αὐτὸ τὸ ἀγαθόν, τὸ ὄντως ἀγαθόν, Ἀριστ. Μεταφ. 2. 2, 2· ἀπαντᾷ καὶ **αὐτοάγαθον**, Ἐπιφάν. τ. 1. σ. 959Α, κλ.: — τὸ ἀρσεν. ἐπίθ. παρ' Ἐκκλ. Ἐντεῦθεν οὐσιαστ. **αὐταγαθότης, ητος**, αὐτὴ ἡ ἀγαθότης, ἀπόλυτος ἀγαθότης, Διον. Ἀρεοπ. π. Θ. Ὀνομ. 2. 414, κλ.

αὐτο-αγάπη, ἡ, αὐτὴ ἡ ἀγάπη, ἡ πραγματικὴ ἀγάπη, Ἀνδρ. Κρήτ. σ. 58, Εὐστ. Πονημάτ. 86, 36.

αὐτο-άγγελτος, ον, = **αὐτάγγελτος**, Ἰω. Χρυσ. τ. 1. σ. 694C.

αὐτο-αγιασμός, ὁ, αὐτὸς ὁ ἁγιασμός, ὁ κυρίως ἁγιασμός, Ἀθανάσ. τ. 1. σ. 46C:— ὡσαύτως **αὐτο-αγιότης, ητος**, ἡ, Διον. Ἀρεοπ.: **αὐτοάγιος, ον**, Βασίλ. τ. 1, σ. 290Ε.

αὐτο-αδάμας, αντος, ὁ, ἀληθής, πραγματικὸς ἀδάμας, ὅλως ἀδάμαστος, ἄκαμπτος, Ἰω. Χρυσ. τ. 5. σ. 564.

αὐτο-αήρ, έρος, ὁ, αὐτὸς καθ' ἑαυτὸν ὁ ἀήρ, Ἑρμ. ἐν Στοβ. 137. 36.

αὐτο-αθανασία, ἡ, αὐτὴ ἡ ἀθανασία, ἡ πραγματικὴ ἀθανασία, Ἰω. Χρυσ. Ὁμιλ. 17 εἰς τὸν π. Τιμόθ. Α' Ἐπιστ. 6.

αὐτο-αΐδιος, ον, αὐτὸς καθ' ἑαυτὸν ἀΐδιος, Ἐπιφάν. τ. 1. σ. 939D.

αὐτο-αίσθησις, αὐτὴ ἡ αἴσθησις, ἡ πραγματικὴ αἴσθησις, ἡ ἀφ' ἑαυτῆς ὑπάρχουσα, Ἐπιφάν. τ. 1. σ. 933C.

αὐτο-αιὼν-ῶνος, αὐτὸς ὁ αἰών, Διον. Ἀρεοπ. σ. 230.

αὐτο-αλήθεια, ἡ, αὐτὴ ἡ ἀλήθεια, ὁ τύπος τῆς ἀληθείας, Ὠριγέν. τ. 3. σ. 622D, κτλ.· ὡσαύτως **-αληθής**, ές, Ἀθανάσ. τ. 1. σ. 708·— Ἐπίρρ. **-θῶς**, κατὰ ἀλήθειαν, ὄντως, δι. γραφ. ἐν Ἀριστ. π. Τοπ. 8. 11, 14.

αὐτο-άλφα, -βῆτα, τό, αὐτὸ τὸ **ἄλφα**, αὐτὸ τὸ **βῆτα**, Ἀριστ. Μεταφ. 12. 10, 6 (ἕτεροι διῃρημένως).

αὐτο-αμαρτία, ἡ, αὐτὴ ἡ ἁμαρτία, Γρηγ. Ναζ. σ. 188.

αὐτοαναμάρτητος, ον, ὅλως ἀναμάρτητος, Διδ. Ἀλεξ. 593, ἔκδ. Mi.

αὐτο-άνθρωπος, ὁ, αὐτὸς ὁ ἄνθρωπος, ὁ κυρίως ἄνθρωπος, Ἀριστ. Ἠθ. Ν. 1. 6, 5. **II**. ὡς ἀληθὴς ἄνθρωπος, ἀπαράλλακτα ὡς ἄνθρωπος, ἐπὶ ἀνδριάντος, Λουκ. Φιλόψ. 18.

αὐτοανόσιον, τό, αὐτὸ τὸ ἀνόσιον, τὸ ὅλως ἀνόσιον, Πρόκλ. εἰς Πλάτ. Ταρμ. σ. 113 ἔκδ. Stallb.

αὐτο-απειρία, ἡ, ἴδε **αὐταπειρία**:—Ἐπιθ. **-ος, ον**, Πλωτῖν. 2. 4, 7.

αὐτ-απλότης, ητος, ἡ, αὐτὴ ἡ ἁπλότης, Bud.

αὐτο-απολύτρωσις, αὐτὴ ἡ ἀπολύτρωσις, ἡ, Ὠριγέν. εἰς Ἰωαν. σ. 11.

αὐτοαπροσδεές, τό, τέλειον ἀφ' ἑαυτοῦ, Διδ. Ἀλεξ. σ. 529, ἔκδ. Mi.

αὐτο-αρετή, ἡ, αὐτὴ ἡ ἀρετή, Ἐπιφάν. τ. 1. σ. 959.

αὐτο-αριθμός, ὁ, αὐτὸς ὁ ἀριθμὸς Ἀλέξ. Ἀφρ. Χειρογρ. Κῶδ. Παρισ. ἀρ. 1876 φύλλ. 255.

αὐτο-αρχή, ἡ, αὐτὴ ἡ ἀρχή, Ἰουλ. Ἐπιστ. 455Β.

αὐτο-ασέβεια, αὐτὴ ἡ ἀσέβεια, Θεοφύλ. Βουλγ. τ. 4. σ. 257.

αὐτο-βασιλεία, ἡ, αὐτὴ ἡ βασιλεία, Ὠριγέν. τ. 3. σ. 622.

αὐτο-βασιλεύς, ὁ, αὐτὸς ὁ βασιλεύς, Ἰω. Χρυσ. π. Ρωμ. Ἐπιστ. τ. 3. σ. 30.

αὐτο-βάφής, ές, ὁ αὐτὸς καθ' ἑαυτὸν βεβαμμένος, ἔχων τὸ φυσικὸν αὐτοῦ χρῶμα, Νόνν. Δ. 30. 123· ὡσαύτως **-βαπτος, ον**, Μανασσ. Χρον. 1163.

αὐτο-βῆτα, ἴδε **αὐτο-άλφα**.

αὐτο-βλάβη, ἡ, αὐτὴ ἡ βλάβη, ἡ ὄντως βλάβη, Σχόλ. εἰς Σοφ. Ἠλ. 301· **αὐτο-βλαβής, ές**, ὁ ἑαυτὸν βλάπτων, Σχόλ. εἰς Αἰσχύλ. Θήβ. 917.

αὐτο-βοάω, αὐτὸς ἐμαυτῷ μαρτυρῶ, Α. Β. 465, 8.

αὐτο-βοεί, Ἐπίρρ. «παραχρῆμα συντελεσθῆναι ἐν πολεμικοῖς ἔργοις, οἷον ταχέως καὶ ἅμα τῷ πολεμικῷ ἀλαλαγμῷ. οὕτω Θουκυδίδης. παρὰ Θεοπόμπῳ δὲ ἀντὶ τοῦ κατὰ κράτος» (Α. Β. 214. 32.)· Ἀμπρακίαν μέντοι οἷδα ὅτι, εἰ ἐβουλήθησαν Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι Ἀθηναίοις .. πειθόμενοι ἐξελεῖν, αὐτοβοεὶ ἂν εἷλον Θουκ. 3. 113., 2. 81., 8. 62, κτλ.

αὐτο-βοηθέω, βοηθῶ ἐμαυτῷ, Μάρκ. Ἐρημ. π. Βαπτ. σ. 939Α.

αὐτο-βοηθός, όν, = **αὐτάρκης**, Φαβωρ. σ. 137.

αὐτο-βόητος, ον, ἀφ' ἑαυτοῦ ἠχῶν, ὄργανον Νόνν. Δ. 1. 432.

αὐτο-βορέας, ου, ὁ, ὡς πραγματικὸς βορέας, ἀνασεσοβημένος τὴν ἐπὶ τῷ μετώπῳ κόμην, αὐτοβορέας τις, ἢ Τρίτων, οἵους ὁ Ζεῦξις ἔγραψεν Λουκ. Τίμ. 54.

αὐτο-βούλησις, εως, ἡ, αὐτὴ ἡ βούλησις, διάφ. γρ. ἐν Ἀριστ. Τοπ. 6. 8, 7:— ὡσαύτως, **αὐτοβουλή**, ἡ, Ἐπιφάν. τ. 1. σ. 838C.

αὐτο-βούλητος, ον, ὁ ἐξ οἰκείας βουλήσεως πράττων τι, Εἰρην. σ. 72, Ἐπιφ. τ. 1. σ. 240D:—Ἐπίρρ. **-τως** Ἡσύχ. ἐν λέξει **ἐθελοντής**, καὶ **-βουλος, ον**, Αἰσχύλ. Θήβ. 1053.

αὐτοβοῦς, ὡς πραγματικὸς βοῦς, Μ. Ἀκομ. τ. Β', σ. 343, 6. Ἔκδ. Λάμπρ.

αὐτό-γαμος, ον, ὁ ἑκουσίως εἰς γάμον ἐλθών, Νόνν. Δ. 40. 405.

αὐτο-γέεννα, ἡ, ἀληθὴς γέεννα, κόλασις, Ἰω. Χρυσ. κ. Ματθ. Ὁμ. 73, τ. 2. σ. 457.

αὐτο-γένεθλος, ον, αὐτογέννητος, Ὀρφ. Ἀποσπ. 38.

αὐτογένεσις, ἡ, αὐτὴ ἡ γένεσις, Πορφύρ. σ. 22, 3.

αὐτο-γενής, ές, ἀφ' ἑαυτοῦ γεννηθείς, αὐτογέννητος, δαίμων Στοβ. Ἐκλογ. 1. 972· — φυσικός, ἔμφυτος, αἰδὼς Χριστοδ. Ἔκφρ. 339. **II**. ἐκ τοῦ αὐτοῦ γένους γεννηθείς, συγγενής, αὐτογενεῖ φυξανορίᾳ Αἰσχύλ. Ἱκ. 9 κατὰ Bamberger ἀντὶ τοῦ αὐτογέννητον φυλαξάνοραν τῶν χειρογράφων. Ὁ Paley ἑρμηνεύει τὸ χωρίον: «τῇ ἐκουσίᾳ ἡμῶν ἀποχωρήσει ἀπὸ συζυγίας μετ' ἀνδρός»· ἀλλ' ἴδε Χρησμ. Σιβυλλ. 8. 430.

αὐτο-γέννητος, ον, = **αὐτογενής**: κοιμήματά τε αὐτογέννητ' ... μητρός, καὶ κοιμήματα μητρὸς μετὰ τοῦ ἐξ αὐτῆς γεννηθέντος τέκνου, Σοφ. Ἀντ. 864·— ὡσαύτως, **αὐτογεννήτωρ, ορος**, ὁ, αὐτὸς ὁ πατήρ, Ἐπιφάν. τ. 1. σ. 239Α.

αὐτο-γῆ, ἡ, αὐτὴ ἡ γῆ, γῆ αὐτογῆ καὶ οὐδὲν ἄλλο Ἑρμῆς παρὰ Στοβ. 137, 36.

αὐτό-γλῦφος, ον, ἀφ' ἑαυτοῦ γεγλυμμένος, λίθος αὐτόγλυφος καλούμενος Ψευδο-Πλούτ. 2. 1156Β.

αὐτο-γλώχῑν, ὁ, ἡ, ὁ ἔχων ἰδίαν αἰχμήν, τὰ δὲ ἄκρα πρὸς τὸ ἀκμαιότατον ἀποξέσας αὐτογλώχινα τὸν ὀϊστὸν ἀπεργάζεται Ἡλιόδ. 9. 19.

αὐτογνωμονέω, πράττω τι αὐτογνωμόνως, πράττω τι ὅπως ἐγὼ θέλω, αὐτογνωμονήσαντες ἀπέκτειναν τὸν ἄνδρα Ξεν. Ἑλλ. 7. 3, 6, «αὐτογνωμονήσαντες· ἰδιογνωμονήσαντες» Α. Β. 467. 11.

αὐτο-γνώμων, ον, γεν. **ονος**, ὁ πράττων ἢ ἀποφαίζων τι αὐτογνωμόνως χωρὶς νὰ λάβῃ ὑπ' ὄψει μήτε τοὺς νόμους μήτε τὴν γνώμην ἄλλου, ἔτι δὲ καὶ τῶν κρίσεων εἰσὶ μεγάλων κύριοι οἱ τυχόντες· διόπερ οὐκ αὐτογνώμονας βέλτιον κρίνειν, ἀλλὰ κατὰ τὰ γράμματα καὶ τοὺς νόμους Ἀριστ. Πολ. 2. 9, 23· αὐτ. ἄρχειν, ἀπολύτως ἄρχειν, αὐτόθι 2. 10, 11. Ἐπίρρ. **-όνως** Πλουτ. Δημήτρ. 6.—Ἐντεῦθεν οὐσιαστ. **αὐτογνωμοσύνη**, ἡ, Ζωναρ. Λεξ. σ. 1371.

αὐτο-γνωσία, ἡ, αὐτὴ ἡ γνῶσις, Ῥήτορες (Walz) 3. 476·— προσέτι, **αὐτόγνωσις**, ἡ, Πρόκλ. εἰς Πλάτ. Ἀλκ. σ. 88, 8.

αὐτό-γνωτος, ον, αὐθαίρετος, σὲ δὲ αὐτόγνωτος ὤλεσ' ὀργά, «αὐθαίρετος καὶ ἰδιογνώμων τρόπος» (Σχόλ.), Σοφ. Ἀντ. 875, ἀλλ' ἴδε σημ. Jebb ἐν τόπῳ.

αὐτό-γονος, ον, αὐτογενής, αὐτογένεθλος, Νόνν. Δ. 8. 103.

II. αὐτογόνος, ἐνεργ. Ἥφαιστος, ἄσπορος ἐκ γενετῆρος, ὃν αὐτογόνος τέκεν Ἥρη αὐτόθι 9. 229.

αὐτο-γραμμή, ἡ, ἡ ἁπλῶς ἐξ ἀφαιρέσεως γραμμή, οἵα εἶναι ἡ μαθηματική, Ἀριστ. Μεταφ. 6. 11, 6.

αὐτό-γραφος, ον, ἐπὶ ἐπιστολῆς, ἡ ἰδιοχείρως ὑπὸ τοῦ ἐπιστέλλοντος γραφεῖσα, τὰ δόξαντα εἰς ἐπιστολὰς κατεχώριζον αὐτογράφους Διον. Ἀλ. 5. 7, Πλουτ. Σερτ. 27: τὸ αὐτόγραφον, τὸ ἰδιοχείρως ὑπό τινος γεγραμμένον, τὸ πρωτότυπον, Πλούτ. 2. 1115C.

αὐτογύμναστος, ον, αὐτὸς ἑαυτὸν γυμνάσας, Μιχ. Μοναχ. Βίῳ Θ. Στουδ. σ. 240, ἔκδ. Mi.

αὐτό-γυος, ον, αὐτόγυον ἄροτρον, «μονόξυλον ἀλέτρι», δοιὰ δὲ θέσθαι ἄροτρα ... αὐτόγυον καὶ πηκτόν, «εἰ μὲν οὖν ἓν ξύλον ᾖ τὸ ὅλον ὁ γύης μέχρι τοῦ ζυγοῦ ἀπὸ τοῦ ἐλύματος, καλεῖται τὸ ἄροτρον αὐτόγυον· ἐὰν δὲ μικρότερος ᾖ τῆς χρείας ὁ γύης, ἐνσφηνοῦται τὸ ἕτερον αὐτῷ ξύλον τὸ συνάπτον αὐτὸν καὶ τὸν ζυγόν, καὶ καλεῖται τὸ μὲν ὅλον πηκτόν, τὸ δὲ ἐνσφηνωθὲν ἰστοβοεύς», (Πρόκλ. Σχόλ.) Ἡσ. Ἔργ. κ. Ἡμ. 430, Ἀπολλ. Ρόδ. Γ. 232, 1285, ἴδε τὰς λέξεις **γύης, ἔλυμα** καὶ **ἰστοβοεύς**.

αὐτο-δαής, ές, αὐτοδίδακτος, ἀρετὰ Διαγόρ. ἐν Bgk. Λυρ. σ. 846: ὀρχήματ' αὐτοδαῆ, «αὐτομαθῆ, ἃ σὺ σαυτὸν ἐδίδαξας» (Σχόλ.) Σοφ. Αἴ. 700.

αὐτο-δάϊκτος, ον, αὐτοφόνευτος, Αἰσχύλ. Θήβ. 735, Ὀππ. Ἀλ. 2. 349.

αὐτό-δακτος, ον, = **αὐτόδειπνος**, Λυκόφρ. 480.

αὐτοδακὴς μῆνις· «μικρὰ» Ἡσύχ.

αὐτ-οδάξ, ἐπίρρ. δι' αὐτῶν τῶν ὀδόντων, γυναῖκες αὐτοδὰξ ὠργισμέναι, εἰς βαθμὸν τοιοῦτον, ὥστε νὰ δάκνωσιν ἀλλήλας, Ἀριστοφ. Λυσ. 687· τὸν αὐτοδάξ τρόπον, τὸν «δαγκανιάρικον» τρόπον, ὁ αὐτ. Εἰρ. 607.

αὐτο-δεής, ές, οἰκοθεν ἐνδεής, Ἑρμ. Τρισμέγ. σ. 74.

αὐτό-δειπνος, ον, «ὅταν τις κεκλημένος ἑαυτῷ φέρῃ τὰ ἐπὶ δεῖπνον» Ἡσύχ., πρβλ. **αὐτόσιτος**.

αὐτό-δεκα, ἀκριβῶς δέκα, Θουκ. 5.20·— **αὐτο-δεκάς**, άδος, ἡ, αὐτὸς ὁ ἀριθ. δέκα, αὐτὴ ἡ δεκάς, Πλωτῖν. 6. 6, 14.

αὐτό-δερμος, ον, αὐτόφλοιος, Ἡσύχ.

αὐτο-δεσπότης, ου, ἀπόλυτος κύριος, Νικήτ. Εὐγ. 2. 226.— Ἐντεῦθεν **-πoτεία**, ἡ, Πρόκλ. εἰς Παρμεν. σ. 229 Stallb.

αὐτο-δέσποτος, ον, κύριος ἑαυτοῦ, ἐλεύθερος, Ἱεροκλ. 242· ἀπόλυτος κύριος, παθῶν Ἰωσήπ. Μακκ. 2. 13.—Ἐπίρρ. **αὐτοδεσπότως**, μεταγεν.

αὐτό-δετος, ον, ὁ ἀφ' ἑαυτοῦ δεδεμένος, Ὀππ. Κ. 2. 376.

αὐτό-δηλος, ον, ὁ ἀφ' ἑαυτοῦ φανερός, Αἰσχύλ. Θήβ.848· οὕτω καὶ ὁ Δινδ. ἐν Ἀριστοφ. Σφ. 463.

αὐτο-δημιούργητος, ον, ἀφ' ἑαυτοῦ δημιουργηθείς, ὅ ἐ. ἐν τῇ φυσικῇ αὐτοῦ καταστάσει, Ἡσύχ. ἐν λέξει **αὐτόξυλον**.

αὐτο-διάκονία, ἡ, τὸ νὰ διακονῇ τις αὐτὸς ἑαυτῷ, Χρύσιππ. παρ' Ἀθην. 18Β.— Τὸ ῥῆμα **-κονέω** Εὐστ. 732, 65.

αὐτο-διάκονος [ᾰ], ον, ὁ ἑαυτῷ διακονῶν, Στράβ. 783· βίος Κλήμ. Ἀλ. 157.

αὐτο-δίδακτος, ον, ὑφ' ἑαυτοῦ διδαχθείς, Ὀδ. Χ. 347· αὐτ. ἔσωθεν θυμὸς Αἰσχύλ. Ἀγ. 991· φιλοσοφία Διον. Ἀλ. 5. 12. Ἐπίρρ. **-τως**, αὐτομάτως, Κλήμ. Ἀλ. 279.

αὐτο-διδάσκομαι, διδάσκομαι μόνος μου, ὑπὸ τῆς φύσεως Συνέσ. 126C.

αὐτο-διήγητος, ον, ἐξιστορούμενος ἀπ' εὐθείας, πρωτοπροσώπως, οὐχὶ ἐν σχήματι διαλόγου, Διογ. Λ.9.111· **αὐτοδιηγούμενος**, η, ον, αὐτοπροσώπως διηγούμενος, αὐτόθι.

αὐτο-δίκαιον, τό, αὐτὸ τὸ δίκαιον, τὸ πραγματικὸν δίκαιον, Ἀριστείδ. 2. 182:— **αὐτοδικαιοσύνη**, ἡ, αὐτὴ ἡ δικαιοσύνη, ἡ ἀληθὴς δικαιοσύνη, Ἰω. Χρυσ. τ. 3, σ. 611.

αὐτοδικέω, εἶμαι αὐτόδικος, ὁρίζω μόνος μου τὸ δίκαιον, Δείναρχ. παρ' Ἁρποκρ., Πολυδ. Η', 24.

αὐτό-δικος, ον, «αὐτόδικοι· οἱ ἑαυτοῖς δικασταῖς χρώμενοι, καὶ οὐκ ἀλλαχόθεν παραγινομένοις» (Ἡσύχ.)· καὶ Δελφοὺς αὐτονόμους εἶναι καὶ αὐτοτελεῖς καὶ αὐτοδίκους, καὶ αὐτῶν, καὶ τῆς γῆς τῆς ἑαυτῶν, κατὰ τὰ πάτρια Θουκυδ. 5. 18, Ἰωσήπ. Ἀρχ. Ἰ. 19. 2, 2.

αὐτό-διον, ἐπίρρ. παραχρῆμα, μόνον ἐν Ὀδ. Θ. 449. (Φαίνεται ὅτι προέκυψεν ἡ λέξις κατ' ἔκτασιν ἐκ τοῦ **αὐτός**, ὡς τὸ **μαψίδιος** ἐκ τοῦ μάψ, **μινυνθάδιος** ἐκ τοῦ μίνυνθα).

αὐτο-διπλάσιον, τό, αὐτὸ τὸ διπλάσιον, ἡ ἰδέα τοῦ διπλασίου, ὁ τύπος αὐτοῦ, Ἀριστ. Μεταφ. 1. 9, 6.

αὐτό-δοξα, ἡ, δοξασία ἀφῃρημένως, Ἀριστ. Τοπ. 8. 11, 14. **II.** αὐτὴ ἡ δόξα, ἀπόλυτος δόξα ἐπὶ τῆς θεότητος, Ἐκκλ.: — οὕτως, **αὐτοδοξάζομαι**, παθ. ἐπὶ τοῦ θεοῦ, ὅστις δοξάζεται, εἶναι ἔνδοξος ἐν ἑαυτῷ, Ἐπιφάν.

αὐτο-δόξαστος, ον, «αὐτοδόξαστον λέγοντες τὸ κυρίως καὶ μᾶλλον δοξαστόν» Σουΐδ.

αὐτό-δορος, ον, σὺν αὐτῇ τῇ δορᾷ, ταῦρον μέλανα κατακόψαντες αὐτόδορον ὁλοκαυτοῦσιν Πλούτ. 2. 694Β.

αὐτοδρομέω, τρέχω αὐτομάτως, αὐθορμήτως, Διονυσ. Βοσπόρ. Διάπλους σ. 53, Ἔκδ. Wescher.

αὐτό-δρομος, ον, τρέχων ἢ κινούμενος ἀφ' ἑαυτοῦ, αὐτοκίνητος, Γαλην. Λεξικ. σ. 444.

αὐτο-δυάς, άδος, ἡ, αὐτὴ ἡ δυάς, ὁ ἰδεώδης ἀριθμὸς δύο, Ἰω. Διάκ. Ἀλληγ. εἰς Ἡσ. Θεογ. σ. 452 Ἔκδ. Γαισφ.

αὐτο-δύναμις, εως, ἡ, αὐτὴ ἡ δύναμις, ἡ ἀπόλυτος δύναμις, παντοδυναμία, Ἀθανάσ. τ. 1. σ. 51, κλ.

αὐτο-δύναμος, ον, αὐτὸς καθ' ἑαυτὸν ἰσχυρός, Γρηγ. Ναζ. τ. 1. σ. 711D: ὡσαύτως **αὐτοδύνατος**, ον, Θεοφ. Σιμοκ. Ἱστ. 2. 4, 13.

αὐτο-ειδής, ές, ὁ ὅμοιος ἑαυτῷ, ὁμοιόμορφος, Μ. Ἀντων. 11. 12· ἀλλὰ πιθ. ἡ ὀρθὴ γραφὴ ἦτο **αὐγοειδής**.

αὐτο-εἶναι, τό, (**εἰμί**) τὸ ἀφ' ἑαυτοῦ ὑπάρχειν, τὸ αὐθύπαρκτον, ἐπὶ θεότητος, Διον. Ἀρεοπ. 513Α.

αὐτο-ειρήνη, ἡ, αὐτὴ ἡ εἰρήνη, πραγματικὴ εἰρήνη, Διονύσ. Ἀρεοπ. σ. 209, 258.

αὐτο-έκαστος, ον, = **αὐθέκαστος**, Ἀριστ. Τοπ. 8. 11, 14· τὸ **αὐτοέκαστον**, ἡ ἰδέα ἑκάστου πράγματος, ὁ αὐτ. Ἠθ. Ν.1.6, 5.

αὐτο-εκουσίως, ἐπίρρ. ἐξ ἰδίας θελήσεως, ἑκουσίως, Βυζ.

αὐτο-έκτᾰτος, ον, ἀφ' ἑαυτοῦ ἐκταθείς, Εὐστ. 943. 59.

αὐτο-έλικτος, ον, ἀφ' ἑαυτοῦ ἑλισσόμενος, ὁ ἐκ φύσεως «σγουρὸς» ἐπὶ τῶν τριχῶν τῆς κεφαλῆς, Χριστοδ. Ἔκφρ. 269· ὁ εἰς ἑαυτὸν ὑποστρέφων, κύκλος Νόνν. Δ. 33. 272 κτλ.

αὐτο-έν, τό, ἡ ἀφῃρημένη ἰδέα τοῦ ἑνός, Πρόκλ.: — **αὐτο-ενάς**, άδος, ἡ, ἡ ἀφῃρημένη ἰδέα τῆς μονάδος, Πρόκλ.

αὐτο-εννεάς, ἡ, ἡ ἀφῃρημένη ἰδέα τοῦ ἀριθμοῦ ἐννέα, Σχόλ. εἰς Ἀριστ. σ. 833. 1.

αὐτοεντεί, ἐπίρρ. αὐτοχειρί, Δίων Κ. 58. 24· διάφ. γρ. **αὐτοεντία**.

αὐτο-έντης, ου, ὁ, παρὰ Σοφ. ἀντὶ **αὐθέντης**, φονεύς, Ο.Τ. 107, Ἠλ. 272· πρβλ. Λοβ. Φρύν. 120.

αὐτο-έπαινος, ον, ὁ ἑαυτὸν ἐπαινῶν, **αὐτοέπαινον** Σχόλ. εἰς Ἰλ. Π. 70.

αὐτο-επιθῡμία, ἡ, αὐτὴ ἡ ἐπιθυμία, δι. γραφ. ἐν Ἀριστ. Τοπ. 6. 8, 7.

αὐτο-ετεί, ἐπίρρ. τοῦ ἐπ., τῷ αὐτῷ ἔτει, Θεόκρ. 28. 13 (ὁ Bgk. **αὐτοέτει** ἐκ τοῦ ἕνος, ἐνιαυτός), Θεοφρ. Αἴτ. Φ. 3. 12, 1. Ἴδε Κόντον ἐν Ἀθηνᾶς τ. Α', σ. 187.

αὐτο-ετής, ές, (ἔτος), τοῦ αὐτοῦ ἔτους, ἐν τῷ αὐτῷ ἔτει, ἐνιαύσιος, Ἀριστ. Ἱστ. Ζ. 5. 14, 10· αὐτοετεῖς αὐξαίνονται Θεοφρ. Ἱστ. Φ. 3. 7, 1·—Ἐπίρρ. **αὐτοέτες**, τῷ αὐτῷ ἔτει, Ὀδ. Γ. 322, Δίων Κ. 36. 20.

αὐτο-ζήμιος, ον, ὑφ' ἑαυτοῦ τιμωρηθείς, Ἡσύχ. ἐν λέξει **αὐτόκαρνος**.

αὐτο-ζήτητος, ον, «ὁ μὴ παρ' ἑτέρου ζητηθείς, ἀλλ' αὐτὸς ἑαυτὸν ἐπαγαγών» Ἐτυμ. Μ. 173. 13· πρβλ. **αὐτοβόητος**.

αὐτό-ζυμος, ον, ὁ, ἀφ' ἑαυτοῦ ζυμωθείς· ἀλλ' ἴσως σημαίνει ἄρτον ἄνευ ζύμης, ἄζυμον, «σῖτος ἐψητὸς καὶ οἱ ἐξ αὐτοῦ ἄρτοι ἦτοι αὐτόζυμοι» Ermerins Anecd. Med. σ. 275.

αὐτο-ζωή, ἡ, ὕπαρξις μὴ ὀφειλομένη εἰς ἕτερον, ἐπὶ τῆς θεότητος, Γρηγόρ. Νύσσ. τ. 3. σ. 46C, κλ.

αὐτό-ζῳον, ἢ **αὐτοζῷον**, τό, τὸ ζῷον αὐτὸ καθ' ἑαυτὸ ἀφῃρημένως, Ἀριστ. Τοπ. 5. 7, 7. **II. αὐτό-ζωος**, ον, ἢ **αὐτόζως**, ζων, ἀφ' ἑαυτοῦ ὑπάρχων, Πρόκλ. εἰς Πλάτ. Θεολ. σ. 18, 38, 145, 149, Δαμασκ. τ. 2. σ. 837E, κλ.

αὐτό-ηδυ, τό, αὐτὸ τὸ ἡδύ, ἡδονὴ ἀφῃρημένως, διάφ. γραφ. ἐν Ἀριστ. Τοπ. 6. 8, 7, ἀντὶ **αὐτοῦ ἡδέος**.

Αὐτο-θαΐς, ἡ, αὐτὴ ἡ Θαΐς, ἀπαράλλακτος, Λουκ. Ρητόρ.δίδ.12.

αὐτο-θάνᾰτος [ᾰ], ον, αὐτὸς ἑαυτὸν φονεύσας, Πλούτ.2.293Ε.

αὐτόθε, ἴδε **αὐτόθεν**.

αὐτοθέλημα, τό, αὐτὸ καθ' ἑαυτὸ τὸ θέλημα, Ἐπιφάν. τ.1.σ.963.

αὐτοθελεί, ἐπίρρ. τοῦ ἑπομ., ἑκουσίως, αὐτοθελήτως, Ἀνθ.Π.7. 470· ἴδε ἐν λ. **αὐτεθελεί**.

αὐτοθελής, ές, ἑκούσιος, Ἀνθ. Π. 9. 79. Ἐπίρρ. **-λῶς** Εὐστ. Ἰλ. σ. 771, 20, Τζέτζ. Ἐπιστ. 79, σ. 73, 2.

αὐτο-θέλητος, ον, ἐξ ἰδίας θελήσεως, αὐτόματος, αὐτὸς ἀφ' ἑαυτοῦ, Ἰω. Γεωμ. Ὕμν. 3. 54. Ἐπίρρ. **-τως**, Ἐπιγρ.

αὐτο-θέμεθλος, ον, ὁ ἀφ' ἑαυτοῦ θεμελιωθείς, Νόνν. μετάφ. Εὐαγγ. κ. Ἰω. ιδ', 23.

αὐτόθεν, πρὸ συμφώνου ἐνίοτε **αὐτόθε** (Θεόκρ. 5, 60): Ἐπίρρ. (αὐτοῦ):— τοπικόν, ἐξ αὐτοῦ τοῦ τόπου, ὡς τὸ Λατ. illinc, indidem, ἀκριβῶς ἐξ αὐτοῦ τοῦ μέρους, κοινῶς «αὐτοῦθε», Ὅμ. καὶ Ἀττ., ἀλλὰ λίαν σπάνιον παρὰ Τραγ., ἴδε κατωτ., συχνάκις μετὰ προθέσεως.., αὐτόθεν ἐξ ἔδρης, ἀπὸ ἐκεῖ ὅπου ἐκάθητο, Ἰλ.Τ.77· αὐτόθεν ἐξ ἐδρέων Ὀδ. Ν. 56, πρβλ. Φ. 420· αὐτόθεν ἐκ Σαλαμῖνος Ἡρόδ. Θ. 64· ἐκ τοῦ Ἄργους αὐτόθεν Θουκ. 5.83· Ἄργεος ἐξ ἱεροῦ αὐτόθεν Θεόκρ. 25. 170· σὺ δ' αὐτόθεν μοι χαῖρε, ἐκ τοῦ μέρους ἔνθα ἵστασαι, χωρὶς νὰ ἔλθῃς πλησιέστερα, Σοφ. Ο. Κ. 1137· τῶν μὲν αὐτόθεν, τῶν δὲ ἀπὸ Στρυμόνος, τινῶν μὲν ἐξ αὐτῆς τῆς χώρας, ἑτέρων δέ.., Ἡρόδ. 1. 64· αὐτόθεν βιοτεύειν, εὑρίσκειν τὰ πρὸς τὸ ζῆν ἐκ τοῦ τόπου, Θουκ. 1. 11, πρβλ. Ξεν. Ἀγησ. 1. 28:—οἱ αὐτόθεν, οἱ ἐπιχώριοι, Θουκ. 2. 25., 6. 21, πρβλ. 4. 129· χρυσὸς αὐτόθεν καθαρός, ἐκ τούτου τοῦ μέρους, Πολύβ. 34. 10, 12· ἐνθένδ' αὐτόθεν Ἀριστοφ. Ἀχ.116.

2) ἀφ' ἑαυτοῦ, ἐξ ἰδίας θελήσεως, αὐτομάτως, Δημ. 1215, ἐν τέλει. **II.** χρονικόν, παραχρῆμα, πάραυτα, «ἐς τὴν στιγμήν», ἀμέσως, Λατ. illico, Αἰσχύλ. Ἱκ. 101, Ἡρόδ. 8. 64· δῆλός ἐστιν αὐτ. Ἀριστοφ. Ἱπ. 330, πρβλ. Ἐκκλ.246· λέγετε αὐτόθεν Πλάτ. Γοργ. 470Ε, Συμπ. 213Α· ἅπαξ διὰ παντός, Θουκ. 1. 141. **III.** ἁπλῶς μόνον, τὸ μὲν ἔρκεσιν αὐτόθεν.., τὸ δὲ πληγῇ Πλάτ. Σοφ. 220Β.

αὐτό-θεος, ὁ, αὐτὸς ὁ Θεός, Εὐσ. Ἐκκλ. Ἱστ. 10. 4, σ.109Α: — **αὐτοθεότης**, ητος, ἡ, αὐτὴ ἡ θεότης, Ἐπιφάν. τ. 2. σ. 900D.

αὐτό-θερμος, ον, αὐτὸς ἀφ' ἑαυτοῦ θερμός, Ὀλυμπιόδ. ἐν τῷ Πίνακι τῶν Α. Β. σ. 1348. — **αὐτοθερμότης**, ητος, ἡ, Βασίλ.

αὐτό-θετος, ον, ἀφ' ἑαυτοῦ τεθειμένος, Α. Β. 848, 16.

αὐτό-θηκτος, ον, ἀφ' ἑαυτοῦ τεθηγμένος, ἠκονημένος, λαβὼν αὐτόθηκτον Εὐβοϊκὸν ξίφος, «κατασκευασθὲν ἐκ τῆς ἐν Εὐβοίᾳ χαλκίτιδος ἐξ ἧς ἐδημιουργεῖτο τὰ ψυχρήλατα τῶν ξιφῶν» (Πλούτ. 434Δ) Αἰσχύλ. Ἀποσπ. 371.

αὐτο-θηλύνομαι, ἐκθηλύνω αὐτὸς ἐμαυτόν, μεταγεν.

αὐτο-θήρευτος, ον, ὁ, ὁ ἀφ' ἑαυτοῦ θηρευθείς, = **αὐτάγρετος,** Σχόλ. εἰς Ὀππ. Ἁλ. 5. 588.

αὐτο-θήριον, τό, αὐτὸ τοῦτο θηρίον, Ἰω. Χρυσ. π. Ρωμ. Ὁμιλ. 2. τ. 3. σ. 16.

αὐτόθι, ἐπίρρ. ἀντὶ **αὐτοῦ,** = **ἐν αὐτῷ τῷ τόπῳ, αὐτόθ' ἔασε κεῖσθαι** Ἰλ. Ε. 847, κτλ.· παρ' αὐτόθι, (εἰ μὴ ἀναγνωστέον **αὐτόφι**) Ψ. 147· **ὡσαύτως** παρ' Ἡροδ. 1. 93.,2. 44, 56, κ. ἀλλ.· συχν. παρ' Ἀττ., κωμικοῖς τε καὶ πεζ., Ἀριστοφ. Ἱππ. 119, Φερεκρ. ἐν «Κραπατάλλοις» 2, (ἔνθα ὁ Meineke ἔχει **εὐθέως**), Πλάτ. Πρωτ. 314B, κ. ἀλλ.

αὐτό-θροος, ον, αὐτόθροος μαρτυρίη, ἐξ αὐτῆς τῆς φωνῆς τοῦ λέγοντος προερχομένη, Νόνν. μετάφρ. Εὐαγγ. κ. Ἰω. ε', 124.

αὐτο-ἵππος, ὁ, αὐτὸς ὁ ἵππος, ἡ ἀφῃρημένη ἰδέα τοῦ ἵππου, Ἀριστ. Μεταφ. 6. 16, 6.

αὐτό-ἴσος, ον, ὁ πράγματι ἴσος, Ἀριστ. Ἀποσπ. 182 (σ. 1509a 19).

αὐτο-ισότης, ητος, ἡ, αὐτὴ ἡ ἰσότης, ἡ ἀφῃρημένη ἰδέα τῆς ἰσότητος, Διον. Ἀρεοπ. σ. 493A.

αὐτο-ισχύς, ύος, ἡ, αὐτὴ ἡ ἰσχύς, Ὠριγέν. Ψαλμ. τ. 1. σ. 326, 22.

αὐτο-κάβδαλος, ον, εἰργασμένος ἢ πεπραγμένος ἀμελῶς, νωθρῶς, εἰκῇ καὶ ὡς ἔτυχεν, ἐπί τε προσώπων καὶ πραγμ., Ἀριστ. Ρητ. 3. 14, 11· περὶ εὐόγκων **αὐτοκαβδάλως** λέγειν, ὁμιλεῖν εἰκῇ καὶ ἀλογίστως ἐπὶ σπουδαίων ὑποθέσεων, αὐτόθι 3. 7, 2· **αὐτοκάβδαλον** σκάφος, προχείρως ναυπηγηθέν, «**αὐτοκατασκεύαστον**» (Σχόλ.) Λυκόφρ. 745. **II.** Αὐτοκάβδαλοι, ἦσαν εἶδος ὑποκριτῶν βωμολόχων ἀπαγγελλόντων αὐτοσχέδια καὶ ἀνάξια λόγου ποιήματα, «Σῆμος δ' ὁ Δήλιος ἐν τῷ περὶ παιάνων, οἱ **αὐτοκάβδαλοι**, φησί, καλούμενοι ἐστεφανωμένοι κιττῷ σχέδην ἐπέραινον ῥήσεις. Ὕστερον δὲ ἴαμβοι ὠνομάσθησαν αὐτοί τε καὶ τὰ ποιήματα αὐτῶν» Ἀθήν. 622B, πρβλ. Εὔπολ. ἐν «Μαρικᾷ» 16, Λουκ. Λεξιφ. 10. (Ἡ παραγωγὴ τῆς λέξεως **κάβδαλος** εἶναι ἄγνωστος, ἴδε Λοβ. Παθολ. 94).

αὐτο-κάθαρσις, εως, ἡ, αὐτὴ ἡ κάθαρσις, ἀληθὴς ἢ ἀπόλυτος κάθαρσις, Γρηγ. Ναζ. II. 400C.

αὐτο-καθόλου, αὐτὸ τὸ καθόλου, Παχυμ. ἐν Δ. Ἀρεοπ. 481.

αὐτο-κᾰκία, ἡ, αὐτὴ ἡ κακία, Εὐστ. Πονημάτ. 123, 31.

αὐτό-κᾰκος, ον, «**αὐτόκακον** ἔοικε τῷδε: ἄκρως καὶ καθ' ὑπερβολὴν ἔοικε τῷδε, ὡς εἰ λέγοι τις αὐτῷ ἄκρως ἔοικε· τὸ δὲ κακὸν πρόκειται δηλοῦν τὴν ὑπερβολὴν τῆς ὁμοιότητος. Ὅμηρος· αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν (Ἰλ. Γ. 158), τὸ γὰρ αἰνῶς καὶ δεινῶς τῷ κακῶς ταὐτὸ σημαίνει» Α. Β. 8. 27. **2)** ὁ εἰς ἑαυτὸν κακός, ὁ ἑαυτὸν κολάζων, Θεόπομπ. Κωμ. ἐν «Θησεῖ» 4· ὁ πλήρης κακίας, ὁ ἐν ἑαυτῷ ἔχων πᾶσαν κακίαν, ὁ ἀποτελῶν αὐτὴν τὴν κακίαν, «μνησικακίας αὐτοὺς γράφοντες οἱ **αὐτόκακοι** (μοναχοί)» Εὐστ. Πονημάτ. 262, 20.

αὐτο-καλλονή, ἡ, αὐτὴ ἡ καλλονή, ἡ ἀφῃρημένη ἰδέα τῆς καλλονῆς, τὸ ἀπόλυτον κάλλος, Πρόκλ. Θεολ. Πλάτ. 1. 24.

αὐτοκαλλοποιός, αὐτὸς ὁ καλλοποιός, Διον. Ἀρεοπ. Θ. Ὀν. 11. 6. 517C.

αὐτό-καλλος, τό, αὐτὸ τὸ κάλλος, ἡ ἰδέα τοῦ κάλλους, Πρόκλ. Θεολ. Πλάτ. 5. 14.

αὐτό-κᾰλον, τό, αὐτὸ τὸ **καλόν,** τὸ ἰδεῶδες καλόν, ὁ τύπος τοῦ καλοῦ, Ἀριστείδ. 2. 182.

αὐτό-καρνος, ον, παρ' Ἡσυχ. = **αὐτοζήμιος.**

αὐτό-καρπος, ον, ὁ ἐξ ἑαυτοῦ κάρπιμος, Α. Β. 464.

αὐτο-κᾰσιγνήτη, ἡ, αὐταδέλφη, Ὀδ. Κ. 137, Εὐρ. Φοιν. 136, κτλ.

αὐτο-κᾰσίγνητος, ὁ, αὐτάδελφος, Ἰλ. Β. 706, κ. ἀλλ.

αὐτο-κατάθετος, ον, ὁ ἀφ' ἑαυτοῦ ὁμολογῶν, Θεοφ. Σιμοκ. σ. 158 ἐν τέλει.

αὐτο-κατάκρῐτος, ον, ὁ ἀφ' ἑαυτοῦ κατακρινόμενος, Ἐπιστ. π. Τιτ. γ', 11, Ἐκκλ.

αὐτο-κατάρα, ἡ, αὐτὴ ἡ κατάρα, Γρηγ. Ναζ. 1. 496.

αὐτο-κατασκεύαστος, ον, ἀφ' ἑαυτοῦ κατασκευασθείς, Σχόλ. εἰς Αἰσχύλ. Πρ. 298, 301.

αὐτο-κατήγορος, ον, κατήγορος ἑαυτοῦ, Θεόδ. Ὑρτακ. Ἐπ. 29 ἐν Notices et Extr. τ. 5. σ. 744.

αὐτό-καυστος, ον, ὁ ἀφ' ἑαυτοῦ καείς, Θεοδ. Προδ. Ροδ. 1. σ. 6.

αὐτο-κέλευθος, ον, ὁ ἰδίαν πορευόμενος ὁδόν, Τρυφ. 314, Ἀνθ. Π. 9. 362.

αὐτο-κέλευστος, ον, ἀφ' ἑαυτοῦ, ἐξ οἰκείας θελήσεως, Ξεν. Ἀν. 3. 4, 5, Διον. Ἁλ. 8. 66, Ἀνθ. Π. 5. 22. — Ἐπίρρ. **-τως** Ἐκκλ. ἀλλ' **ὡσαύτως αὐτοκελευστὶ** Φίλων σ. 19. Mai.

αὐτο-κελής, ές, = τῷ προηγ., Ἡρόδ. 9. 5.

αὐτόκερας (κεράννυμι), ἡ **αὐτοκέρας,** «σημαίνει τὸ αὐτοκέραστον καὶ συμμέτρως κεκερασμένον, ἤγουν πεφυκὸς κεράννυσθαι· εἴρηται δὲ ἐπιῤῥηματικῶς» Φρύν. ἐν Α. Β. 3, Πολυδ. Ϛ', 24, ἴδε Λοβ. Παραλειπ. σ. 223.

αὐτο-κέραστος, ὁ ἀφ' ἑαυτοῦ κεκερασμένος, δηλ. ἀμιγής, κυρίως ἐπὶ ἐλαφρῶν οἴνων, οἵτινες δὲν ἐπιδέχονται ὕδωρ, οὐδὲ χρήζουσιν αὐτοῦ, Α. Β. 3· μεταφ., μετ' ἀπολύτου ἐξουσίας, Χρησμ. Σιβυλλ. 8. 135.

αὐτο-κέφαλος, ον, παρ' Ἐκκλ. ἐπὶ ἀρχιεπισκοπῶν ἢ ἀρχιεπισκόπων ἀνεξαρτήτων ἀπὸ τῆς πατριαρχικῆς δικαιοδοσίας, τοῦ **αὐτοκεφάλου** ἀρχιεπισκόπου τῆς Κυπρίων νήσου Χρυσόβουλλον Ἀλέξ. Κομν. παρὰ Montfauc. Bibl. Coisl. σ. 103, 47, κτλ.

αὐτο-κήρυξ, ῦκος, ὁ, «ὁ μὴ ὑ' ἑτέρων ἀλλὰ δι' ἑαυτοῦ κηρυκεύων· ἔστι δὲ ὅμοιον τῷ αὐτουργός, αὐτεπάγγελτος», Α. Β. 5, 14.

αὐτο-κῑνέω, ἔχω ἐν ἐμαυτῷ τὴν τοῦ κινεῖν ἐνέργειαν, Πρόκλ.· — **ὡσαύτως -κινητίζω,** Α. Β. 1348 ἐν τῷ πίνακι.

αὐτο-κίνησις [ῑ], **εως,** ἡ, ἡ δύναμις τοῦ κινεῖσθαι, ἢ ἡ ἐκουσία κίνησις, διάφ. γραφ. ἐν Ἀριστ. Φυσ. 8. 9, 10· **-νησία,** ἡ, Πρόκλ.

αὐτο-κίνητος [ῑ], **ον,** ὁ ἀφ' ἑαυτοῦ κινούμενος, Ἀριστ. Φυσ. 8. 5, 21, Πλούτ., κλ.—Ἐπίρρ. **-τως,** Ἐκκλ.· — **ὡσαύτως αὐτοκινητικός, ή, όν,** Διον. Ἀρεοπ. σ. 202.

αὐτό-κλᾰδος, ον, σὺν αὐτοῖς τοῖς κλάδοις, ἐκωπηλάτουν κυπαρίττοις μεγάλαις **αὐτοκλάδοις** καὶ **αὐτοκόμοις** ὡσπερεὶ ἑρετμοῖς Λουκ. π. Ἀλ. Ἱστ. Α. 40.

αὐτό-κλητος, ον, ὁ ὑφ' ἑαυτοῦ κληθείς, ὅ ἐ. ἄκλητος, ἀπρόσκλητος, Αἰσχύλ. Εὐμ. 170, Σοφ. Τρ. 392, **αὐτόκλητος** ἐπὶ τὸν τοιοῦτον οὐκ ἔρχομαι ξυμβουλεύσων Πλάτ. Ἐπιστ. 331B.— Ἐπίρρ. **-τως** Κύριλλ. Ἀλ. εἰς Μιχαίαν σ. 418.

αὐτο-κμής, ῆτος, ὁ, ἡ, (κάμνω) = **αὐτοπόνητος,** Ὀππ. Ἁλ. 1. 718.

αὐτό-κομος, ον, μετὰ φυσικῆς κόμης, δασύς, λοφιὰ Ἀριστοφ. Βάτρ. 822. **II.** σὺν αὐτῇ τῇ κόμῃ, δηλ. σὺν αὐτῇ τῇ κόμῃ τῆς κυπαρίσσου, Λουκ. π. Ἀλ. Ἱστ. Α. 40, ἴδε **αὐτόκλαδος.**

αὐτοκόμματον, μονοκόμματον, Λύδ. καὶ Ροδ. στ. 2527. Ἔκδ. Wr.

αὐτό-κρᾱνος, ον, «**αὐτόκρανον** λόγον, τὸν ἐξ ἑαυτοῦ τὸ τέλος ἐπιφέροντα· οὕτως Αἰσχύλος» (Ἀποσπ. 429) Α. Β. 467, 10. **II.** Παθ., ὁ ἀφ' ἑαυτοῦ φανερός, αὐτόδηλος, Ἐτυμ. Μ· — «**αὐτόκρανα**· αὐτόδηλα, ἑαυτὰ δηλοῦντα, ἢ κίονα μονόλιθον» Ἡσύχ.

αὐτό-κρας, = **αὐτοκέραστος,** Πολυδ. Ϛ', 24.

αὐτοκράτεια, ἡ, ἀπόλυτος ἐξουσία, κυριαρχία, Πλάτ. Ὅροι 412D.

αὐτοκράτειρα, ἡ, θηλ. τοῦ **αὐτοκράτωρ,** Ὀρφ. Ὕμν. 69. 8.

αὐτο-κρᾰτής, ές, ὁ κυβερνῶν κατὰ τὴν ἰδίαν του θέλησιν, αὐτεξούσιος, ἀπόλυτος κύριος, νοῦς Ἀναξαγ. 8 (πρβλ. **αὐτοκράτωρ** 3)· τύχη Ἱππ. 423. 5· φρὴν Εὐρ. Ἀνδρ. 483· ἀπειθής τε καὶ αὐτ. Πλάτ. Τίμ. 91B: — τὸ αὐτ., ἡ αὐτοκράτεια, ἡ ἐλευθέρα βούλησις, Πλούτ. 2. 1026C.—Ἐντεῦθεν ῥῆμα **αὐτοκρατέω,** εἶμαι αὐκρατής, Εὐστ. Πονημάτ. 202. 48: — **ὡσαύτως αὐτοκρατητικός, ή, όν,** Διον. Ἀρεοπ. π. Οὐρ. Ἱερ. 15. 2, σ. 57 (129A).

αὐτοκρᾰτορεύω, εἶμαι ἢ γίνομαι **αὐτοκράτωρ,** Δίων Κ. 69. 4: — **ὡσαύτως αὐτοκρατορέω,** Γεώργ. Ἀκροπ. σ. 163, 14, κλ.

αὐτοκρᾰτορία, ἡ, ἀπόλυτος ἐξουσία ἢ κυβέρνησις, τὸ κράτος τοῦ αὐτοκράτορος, τῷ Τραϊανῷ ἡ τῆς αὐτοκρατορίας ἀρχὴ προερρήθη Δίων Κ. 67. 92· παρὰ Βυζ., ἡ σὴ Αὐτοκρατορία = ἡ σὴ Μεγαλειότης.

αὐτοκρᾰτορικός, ή, όν, ὁ τοῦ αὐτοκράτορος, ὁ εἰς τὸν αὐτοκράτορα ἀνήκων, ἢ διὰ τὸν αὐτοκράτορα ἁρμόδιος, Διον. Ἁλ. 8. 59. **2)** ἐλεύθερος, αὐτεξούσιος, Κλήμ. Ἀλ. 434.—Ἐπίρρ. **-κῶς,** δεσποτικῶς, Πλουτ. Ἀντ. 15.

αὐτοκρᾰτόριος, = τῷ προηγ., Συλλ. Ἐπιγρ. 4283, 1.

αὐτοκρᾰτορίς, ἡ, ἡ ἕδρα ἀπολύτου ἄρχοντος, Ἰωσήπ. Ἀρχ. Ἰ. 18. 2, 1: — **αὐτοκρατόρισσα,** ἡ, αὐτοκράτειρα, Ἄννα Κομν. σ. 463: — **αὐτοκρατορόθεν,** ἐπίρρ., ἐκ τοῦ αὐτοκράτορος, Ἄννα Κομν. σ. 363

αὐτό-κρᾱτος, ον, = **αὐτοκέραστος,** Ἀθήν. 32E, Α. Β. 18, 15.

αὐτο-κράτωρ, ορος, ὁ, ἡ, (κράτέω) ἑαυτοῦ κύριος, ἑπομένως, **1)** ἐπὶ πόλεως ἀνεξαρτήτου ἢ πολιτῶν ἐλευθέρων, αὐτοξούσιος, Λατ. sui juris, πόλιν ἔξοντες ἕκαστος ἐλευθέραν, ἀφ' ἧς αὐτοκράτορες ὄντες τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα Θουκ. 4. 63· ἐπὶ παίδων εἰς ἥβην ὁρμωμένων, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν, εἴτε κτλ. Ξεν. Ἀπομν. 2. 1, 21. **2)** ἐπὶ πρέσβεων καὶ ἐπιτρόπων ἐχόντων πλήρη ἐξουσίαν, αὐτοκράτορά τινα ἐλέσθαι, πληρεξούσιον, Ἀριστοφ. Εἰρ. 359· πρέσβεις ὁ αὐτ. Ὄρν. 1595, πρβλ. Λυσίαν. 130. 29· ξυγγραφεῖς Θουκ. 8. 67· προσέτι αὐτ. βουλὴ Ἀνδοκ. 3. 13, πρβλ. Ἑρμάνν. Πολιτ. Ἀρχ. § 125. 10· ἀποδεῖξαι δὲ ἄνδρας ὀλίγους ἀρχὴν αὐτοκράτορας καὶ μὴ πρὸς τὸν δῆμον τοὺς λόγους εἶναι, τοῦ μὴ καταφανεῖς γίγνεσθαι τοὺς μὴ πείσαντας τὸ πλῆθος Θουκ. 5. 27. **3)** ἐπὶ ἀρχόντων, ἀπόλυτος, ἀνεύθυνος, στρατηγοὶ ὁ αὐτ. 6. 72· ἄρχοντες Ξεν. Ἀν. 6. 1, 21· ἀνυπεύθυνος καὶ αὐτ. ἄρχειν Πλάτ. Νόμ. 875B· ἐπιτρέψαντες τοῖς ἐννέα ἄρχουσι τὴν φυλακήν, καὶ τὸ πᾶν αὐτοκράτορσι διαθεῖναι, νὰ διαθέσωσι τὰ πάντα κατ' ἰδίαν βούλησιν, Θουκ. 1. 126, πρβλ. Πλάτ. Πολιτ. 299C· ἦρχε τῶν ἀκολουθούντων αὐτοκράτωρ ὤν, περὶ τοῦ Φιλίππου, Δημ. 305. 26· μόναρχοι Ἀριστ. Πολ. 4. 10, 2· ὁπόθεν στρατηγία τις αὐτοκράτωρ, πρέπει νὰ γραφῇ (ἀντὶ αὐτοκρατόρων)

ἐν 3. 14, 4· νοῦς αὐτ. (πρβλ. **αὐτοκρατὴς**) Ἀναξαγ. παρὰ Πλάτ. ἐν Κρατ. 413C: — ἐντεῦθεν ἐν χρήσει πρὸς μετάφρασιν τοῦ Ρωμαϊκοῦ Dictator, Πολύβ. 3. 86, 7, κτλ.. μετὰ ταῦτα δὲ ἔλαβε τὴν σημερινὴν σημασίαν τοῦ **αὐτοκράτορος**, Πλουτ. Γ'Αλέ.1, κτλ.

4) ὁ μὴ δεχόμενος ἀντιλογίαν, εἰωθότες οἱ ἄνθρωποι οὗ μὲν ἐπιθυμοῦσιν ἐλπίδι ἀπερισκέπτῳ διδόναι, ὃ δὲ μὴ προσίενται λογισμῷ αὐτοκράτορι διωθεῖσθαι, «ἔθος ὂν τοῦτο ἀνθρώποις ἀρχαῖον, οὗ μὲν ἐπιθυμοῦσιν, ἀπερισκέπτως ἐλπίζειν καὶ δέχεσθαι, κἂν ἐπιβλαβὲς ᾖ καὶ σφαλερόν· ᾧ δὲ μὴ ἀρέσκονται, χρῆσθαι λογισμῷ αὐτοκράτορι πρὸς τὸ ἀπωθεῖσθαι τοῦτο κἂν ὠφέλιμον τύχῃ ὂν καὶ σωτήριον» (Σχόλ.), Θουκ. 4. 108. **II.** μετὰ γεν., ἐντελὴς κύριος, ἑαυτοῦ, τῆς τύχης ὁ αὐτ. 3..62., 4. 69 : τῆς αὐτοῦ πορείας Πλάτ. Πολιτικ. 274A· τῆς ἐπιορκίας αὐτοκράτωρ, ἐντελῶς ἐλεύθερος νὰ ἐπιορκήσῃ, Δημ. 215. 2: — μετ' ἀπαρ., αὐτ. κολάσαι, ἔχων πλήρη ἐξουσίαν νὰ τιμωρήσῃ, ὁ αὐτ. 1372. 14. Κλητ.: **ὦ αὐτοκράτορ** Λουκ. Ὑπὲρ τοῦ ἐν Προσαγ. Πταίσμ. 18.

αὐτο-κρηπής, ές, = **αὐτοκέραστος**, Νικ. Ἀλεξιφ. 163.

αὐτό-κριτος, ον, (κρίνω) ὁ ἔχων ἐν ἑαυτῷ τὴν κρίσιν, τὴν ἑρμηνείαν, οὕτως οὖν καὶ τὰς ἐν τοῖς ὕπνοις γενομένας κρίσεις τῶν ὀνείρων, ἐὰν μὲν ἁπλαῖ ὦσι καὶ μὴ αἰνιγματώδεις, αὐτοκρίτους εἶναι νόμιζε καὶ ἔχειν αὐτὰς ἐν ἑαυταῖς τὰς κρίσεις Ἀρτεμίδ. 4. 72.

αὐτό-κτητος, ον, ἰδιόκτητος, χωρίον Συλλ. Ἐπιγρ. 2488, II. I.

αὐτο-κτίστης, αὐτὸς ὁ κτίστης, Πλουτ. Ἠθ. σ. 223.

αὐτό-κτιτος, ον, (κτίζω) ὁ αὐτομάτως γενόμενος, ὁ ἐκ φύσεως σχηματισθείς, πετρηρεφῆ αὐτόκτιτ' ἄντρα Αἰσχύλ. Πρ. 301· «αὐτοκτί[σ]τους δόμους· οὐ κατεσκευασμένους, ἀλλ' ἐκ ταὐτομάτου γεγενημένους, ἢ τοὺς οἰκουμένους. Σοφοκλῆς Κηδαλίωνι» Ἡσύχ. (Σοφ. Ἀποσπ. 306).

αὐτοκτονέω, κτείνω ἰδίᾳ χειρί, ἀδελφὼ δύο μίαν καθ' ἡμέραν αὐτοκτονοῦντε τὼ ταλαιπώρω μόρον κοινὸν κατειργάσαντ' ἐπαλλήλοιν χεροῖν Σοφ. Ἀντ. 56, ἔνθα ἴδε σημ. Jebb. Ἡ τῶν χειρογρ. γραφὴ εἶναι **αὐτοκτένοῦντε** καὶ **αὐτοκτενοῦντες**· ὁ Κοραὴς ἐν Ἡλιοδ. Αἰθ. τόμ. Β', σ.7 λέγει: «ἀναγνωστέον αὐτοκτονοῦντε (ὅ ἐστιν ἑαυτοκτονοῦντε, ἦγουν ἀλληλοκτονοῦντε), ὁμικρογραφοῦντας τὴν τρίτην ἀπὸ τέλους».

αὐτοκτονία, ἡ, = **αὐτοφονία**, Κλήμ. Ὁμιλ. 12. 14.

αὐτο-κτόνος, ον, ὁ ἰδίᾳ χειρὶ κτείνων. — Ἐπίρρ. **αὐτοκτόνως**, ἰδιοχείρως, δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως Αἰσχύλ. Ἀγ. 1635: — οὕτω, τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον, ἐπὶ τῆς Μηδείας, ἥτις ἀπέκτεινε τὰ ἴδια ἑαυτῆς τέκνα, Εὐρ. Μήδ. 1254. **2)** ἀλληλοκτόνος, ἄνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων Αἰσχύλ. Θήβ. 805· ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτοκτόνος, ἀμοιβαῖος. διὰ τῶν χειρῶν ἀλλήλων, αὐτόθι 681, πρβλ. **αὐτοκτόνως**, ἐπειδὰν αὐτοκτόνως αὐτοδάικτοι θάνωσι αὐτόθι 734· αὐτοκτόνα δῶρα, τὰ προξενοῦντα θάνατον εἰς τὸν λαμβάνοντα, Ἀνθ. Π. 7. 152.

αὐτο-κυβερνήτης, ου, ὁ, αὐτὸς κυβερνῶν, **αὐτοκυβερνῆται** πρὸς κύτος ἐτρόχασαν Ἀνθ. Π. 9. 438.

αὐτό-κυκλος, ὁ, αὐτὸς ὁ κύκλος, ἡ ἰδέα, ὁ τύπος τοῦ κύκλου, Θεμίστ. 165A, πρβλ. Πλάτ. Ἐπιστ. 342C.

αὐτο-κύλιστος [ῠ], ον, ὁ ἀφ' ἑαυτοῦ κυλιόμενος, εἰσόκεν .. αὐτοκύλιστα πέσῃ μεθύουσιν ὁμοῖα Ὀππ. Ἁλ. 2. 604· **αὐτοκίνητος**, Νόνν. Δ. 2. 434.

αὐτο-κύριος, ὁ ὄντως κύριος, Γρηγ. Ναζ. σ. 610B.

αὐτό-κωλος, ἴδε **αὐόκωλος**.

αὐτό-κωπος, ον, σχεδιά τ' αὐτόκωπα νωμῶν ξίφη, «τὰ ἀφ' ἑαυτῶν ἔχοντα τὴν λαβὴν ξίφη, σχέδια δὲ ἐκ τοῦ σχεδὸν φονεύοντα, καὶ οὐ πόρρωθεν ὥσπερ τὰ βέλη» (Σχόλ.), Αἰσχύλ. Χο. 163· πρβλ. **πρόκωπος**: — Παρ' Ἡσυχ. δὲ καὶ **αὐτόλαβον**· «ἑαυτοῦ λαβὴν ἔχον».

αὐτο-λάλητής, οῦ, ὁ, ὁ ἑαυτῷ διαλεγόμενος, Τίμων παρὰ Διογ. Λ. 9. 69.

αὐτο-λεξεί, ἐπίρρ., αὐταῖς λέξεσι, Κλήμ. Ἀλ. 804: — οὕτω καὶ ἐπίθ. **αὐτόλεκτος**, ον, «ἵνα καὶ τῆς αὐτολέκτου αὐτοῦ λέξεως μνημονεύσω ἣν αὐτολεξεὶ αὐτὸς εἶπεν» Βίος Σάβα ἐν Cotel. Eccl. Gr. mon. τ. 3. σ. 331A. — Ἐπίρρ. **-τως**, αὐτολεξεί, Ἰω. Δαμ. τ. 2. σ. 856D.

αὐτο-λήκῡθος, ον, ὁ, «ὁ πένης, ἀπὸ τοῦ ἑαυτῷ τὰς ληκύθους φέρειν εἰς τὰ βαλανεῖα. οἱ δ' ἄσωτος, παρὰ τὸ τὰς συμβολὰς ἐν ταῖς ληκύθοις ἔχειν καὶ φέρειν εἰς τὰ συμπόσια» Α. Β. 204, 27· — κατὰ δὲ Ἁρποκρ. «αὐτολήκυθοι: Δημοσθένης κατὰ Κόνωνος (1261. 17)· ἤτοι ἀντὶ τοῦ εὐζώνους τινὰς καὶ ἑτοίμους πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν, ἢ ἀντὶ τοῦ πένητας καὶ μηδὲν ἄλλο κεκτημένους ἢ ληκύθους, ἢ αὐτουργούς, ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους καὶ οἷον τύπτοντας καὶ μαστιγοῦντας καὶ ὑβρίζοντας. ἢ λέγοι ἂν τοὺς ἐκ προχείρου διδόντας ἀργύριον καὶ ἑτοίμους πρὸς τὰς μίξεις· καὶ γὰρ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον· τὸ ὄνομα καὶ παρὰ Μενάνδρῳ ἔν τε Ἡνιόχῳ καὶ Δακτυλίῳ. ὅτι δὲ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον ἐνίοτε, Δίφιλος τῷ Ἀποδάτῃ· ὅτι δὲ λύσαντες τὴν λήκυθον ἔχρῶντο τῷ ἱμάντι πρὸς τὸ μαστιγοῦν, Μένανδρος Τροφωνίῳ». Πρβλ. Ἀντιφάν. ἐν «Ἀθάμαντι» 1 (Πολυδ. Γ', 62). **II.** κόλαξ, παράσιτος, Λουκ. Λεξιφ. 10, Πλούτ. 2. 50C, ἔνθα ἴδε Οὐϋττεμβάχ.

αὐτο-λίθινος, ον, ὅλως λίθινος, μεταφ., σκληρὸς ὡς λίθος, αὐτολίθινος τὴν ψυχὴν Ἰω. Χρυσ. τόμ. 1. σ. 30. 42.

αὐτό-λῐθος, πεποιημένος ἐξ ἑνὸς μόνου λίθου, αὐτολίθοισι ληκύθοις Σοφ. («Ἀποσπ. 133) παρὰ Πολυδ. Γ', 120, κατ' εἰκασίαν τινὰ ἀμφίβολον τοῦ Hemsterth. ἀντὶ **αὐτοχείλεσι**. **2)** ὄντως λίθος, Ἰω. Χρυσ. τ. 10, σ. 287E.

αὐτο-λόγος, ὁ, αὐτὸς ὁ λόγος τοῦ Θεοῦ, Ὠριγέν. κ. Κέλσ. 2, σ. 79. 32.

αὐτο-λόχευτος, ον, ὁ ἀφ' ἑαυτοῦ γεννηθείς, Νόνν. Δ. 4. 427, Χρησμ. Σιβυλλ. 1. 20.

αὐτο-λυρίζων, ὁ ἑαυτῷ λυρίζων, καὶ μάλιστα ὁπόταν ἄδῃ καὶ ἄβρὸς εἶναι θέλῃ, 'ὄνος αὐτολυρίζων, φασίν' αὐτόχρημα ὄνος ὀγκώμενος, παροιμ. ἐν Λουκ. Ἑταιρ. διαλ. 14. 4.

αὐτό-λῦσις, εως, ἡ, σχοινίον ἢ λωρίον διὰ κύνας θηρευτικούς, Ἡσύχ. (οὗ ἡ ἑρμηνεία ἀσαφής)· ἐντεῦθεν ἐν Ὀππ. Κ. 4. 357, ἀντὶ αὐτόλυγοι κύνες ὁ Schneid. διορθοῖ: αὐτόλυτοι κύνες, εἰς ζεύγη δεδεμένοι.

αὐτομάθεια, ἡ, ἡ ἄνευ διδασκαλίας μάθησις, Πλούτ. 2. 973E: — ὡσαύτως **-μαθία**, ἀμφ. ἐν Φίλωνι 1. 552.

αὐτομάθης, ές, ἀφ' ἑαυτοῦ μαθών, αὐτοδίδακτος, Πλούτ. 2. 992Δ· μ. γεν., τὸν ὀρχησμῶν αὐτομαθῆ Κυδέλης Ἀνθ. Π. 6. 218. — Ἐπίρρ. **-θῶς** Φιλόστρ. 498.

αὐτο-μακαριότης, ητος, ἡ, αὐτὴ ἡ μακαριότης, ἡ ὄντως μακαριότης, Ἰω. Χρυσ. ἐν τῇ π. Τιμ. Ἐπιστ. Ὁμιλ. 4. σ. 325, 31.

αὐτο-μανία, ἡ, καθαρὰ μανία, Ἰω. Χρυσ. εἰς Γέν. Ὁμ. 10, τ. 1. σ. 61, 19.

αὐτο-μαρτῠρέω, ἐν Διογ. Λ. 9. 110, διορθωτέον αὐτῷ **μαρτυρ-**.

αὐτό-μαρτυς, ῠρος, ὁ, ἡ, αὐτὸς ὁ μάρτυς, ὅ ἐ. αὐτόπτης μάρτυς, Αἰσχύλ. Ἀγ. 989, Κύριλλ. Ἀλ. τ. 5. σ. 440E.

αὐτομᾰτεῖ ἢ **-τί**, ἐπίρρ. τοῦ **αὐτόμᾰτος**, Νόνν. Δ. 4. 153, Ἰω. Χρυσ. Ὁμιλ. 133, τ. 5. σ. 846.

Αὐτοματία, ἡ, ἡ θεὰ τῆς τύχης, Πλούτ. 2. 816D, 2. 542E.

αὐτοματίζω: μέλλ. **-ίσω**, πράττω τι αὐτομάτως, προχείρως ἢ ἀλογίστως, Ξεν. Κύρ. 4. 5, 21· εἰσάγω τὴν ἐνέργειαν τῆς τύχης ὡς ὑπάρχουσαν, περὶ τοῦ Ἀναξαγόρου, Σιμπλίκ. εἰς Ἀριστ. Φυσ. σ. 73. **2)** ἐπὶ πραγμάτων συμβαινόντων τυχαίως, ἀφ' ἑαυτῶν, Ἱππ. 402. 36· φήμη Διόδ. 16. 92. **3)** ἐπὶ φυσικῶν ἐνεργειῶν, ἐνεργῶ ἐξ ἐμαυτοῦ, αὐτομάτως, ὥσπερ αὐτοματιζούσης τῆς φύσεως Ἀριστ. π. Ζ. Γεν. 1. 1, 11.

αὐτοματισμός, ὁ, τὸ ἀφ' ἑαυτοῦ συμβαῖνον, τύχη, Ἱππ. 406, Διον. Ἁλ. 1. 4.

αὐτοματιστής, οῦ, ὁ, ὁ τὰ πάντα ἀποδίδων εἰς τὴν τύχην, Ἐπικούρειος, Ἰω. Μαλαλᾶς σ. 251, 1, κλ.

αὐτοματο-ποιός, ὁ, ὁ κατασκευάζων αὐτόματα· **ἡ αὐτοματοποιητικὴ** ἢ ὀρθότερον **αὐτοματοποιικὴ** (ἐνν. τέχνη), ἡ τέχνη τοῦ αὐτοματοποιοῦ· **τὰ αὐτοματοποιητικά**, πραγματεία περὶ ταύτης τῆς τέχνης, ἴδε Ἥρωνα ἐν Ἀρχ. Μαθημ. σ. 243.

αὐτόμᾰτος, η, ον, Ὅμ. καὶ Ἀττ. ος, ον, Ἡσ. Ἔργ. κ. Ἡμ. 103, Ἀριστ. π. Ζ. Γεν. 3. 11, 14, Ἰστ. Ζ. 10. 6, 43. **1)** ἐπὶ προσώπων, ὁ πράττων τι ἐξ οἰκείας βουλήσεως, ἀφ' ἑαυτοῦ, αὐτόματος δέ οἱ ἦλθε Ἰλ. Β. 408· αὐτ. φοιτῶσι Ἡσ. Ἔργ. κ. Ἡμ. 103· αὐτ. ἦκειν Ἀριστοφ. Πλ. 1190, Θουκ. 6. 91. **2)** ἐπὶ ἀψύχων πραγμάτων, αὐτοκίνητος, αὐτενεργός, ἐπὶ τῶν πυλῶν τοῦ Ὀλύμπου, αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ Ἰλ. Ε. 749· ἐπὶ τῶν τριπόδων τοῦ Ἡφαίστου, οἵτινες ἐκινοῦντο ἀφ' ἑαυτῶν διὰ τροχίσκων, τρίποδας γὰρ .. ἔτευχεν ... χρύσια δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν, ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα Σ. 376, προβλ. Πλάτ. Κωμ. ἐν Ἀθῆν. 6· ὅπλα.. αὐτ. φανῆναι ἔξω προκείμενα τοῦ νηοῦ Ἡρόδ. 8. 37· αὐτ. κοχλίας, ἀφ' ἑαυτοῦ ἐνεργῶν, Πολύβ. 12. 13, 11· **τὰ αὐτόματα** μηχανήματα ἀφ' ἑαυτῶν κινούμενα, Ἀριστ. π. Ζ. Γεν. 2. 1, 40. **3)** ἐπὶ φυσικῶν ἐνεργειῶν, ὁ ποταμὸς αὐτ. ἐπελθών, ἀφ' ἑαυτοῦ, Ἡρόδ. 2. 14· οὕτω καὶ ἐπὶ φυτῶν φυομένων ἀφ' ἑαυτῶν, αὐτ. ἐκ τῆς γῆς γίνεται ὁ αὐτ. 3. 100· αὐτ. φύεσθαι ὁ αὐτ. 2. 94., 8. 138· καὶ δὴ κύτισος αὐτόματος παρὰ Μέδοντος ἔρχεται Κρατῖνος ἐν «Μαλθακοῖς» 1. 8· μεταφ., αὐτόματα ταῦτ' ἀγαθά.. πορίζεται Ἀριστοφ. Ἀχ. 978, πρβλ. Κρατῖνον ἐν «Πλούτοις» 6· ἐπὶ φιλοσόφων τινῶν, ἀλλ' αὐτόματοι ἀναφύονται Πλάτ. Θεαίτ. 180C. **4)** ἐπὶ γεγονότων συμβαινόντων ἀφ' ἑαυτῶν ἄνευ ἐξωτερικῆς ἐπενεργείας, αὐτόματα δεσμὰ διελύθη Εὐρ. Βάκχ. 347· αὐτόματος βίος, βίος μὴ ἔχων ἀνάγκην ἐξωτερικῆς ὑποστηρίξεως, Πλάτ. Πολιτικ. 271E· αὐτόματος θάνατος, φυσικός, Δημ. 296. 18· κόπος αὐτ., ὁ ἄνευ γνωστῆς αἰτίας, Ἱππ. Ἀφ. 1244· ἀπό τινος αἰτίας αὐτομάτης Πλάτ. Σοφ. 265C· ἄνευ φανερᾶς αἰτίας, τυχαῖος, ἐν ἀντιθέσει πρὸς τὸ ἀπὸ πείρης, Ἡρόδ. 7. 9, 2. **II.** **αὐτόματον**, τό, ἁπλῆ τύχη, Λυσ. 105. 27· διὰ τὸ αὐτ. Ἀριστ. Φυσ. 2. 4. 1· **τῷ αὐτομάτῳ** ἀντιθέτως πρὸς τὸ **τέχνη**, ὁ αὐτ. Μεταφ. 11. 3, 2· — ἀλλὰ συχνότατα ἐν τῇ φράσει, **ἀπὸ τοῦ αὐτομάτου** ἢ **ἀπὸ ταὐτομάτου**, ὅμοιον τῷ Λατ. sponte, ἀποθανέειν

ἀπὸ τοῦ αὐτ. Ἡρόδ. 2. 66, πρβλ. Θουκ. 2. 77, Πλάτ., καὶ συχν. παρ' Ἀριστ.· ἐκ τοῦ αὐτομάτου Ξεν. Ἀν. 1. 3, 13. **III.** Ἐπίρρ. **-τως** = ἀπὸ ταὐτομάτου, Ἡρόδ. 2. 180, Ἱππ. π. Ἀγμ. 778, Ἀριστ.: — ὡσαύτως **αὐτοματεὶ** ἢ **-τι** (ἆ ἴδε), καὶ **αὐτομάτην** Διόδ. 2. 25.

αὐτομαχεί, ἐπίρρ. τοῦ αὐτομαχέω, Δίων Κ. Ἀποσπ. σ. 161 Mai.

αὐτομάχέω, (μάχομαι) μάχομαι ὑπὲρ ἐμαυτοῦ, ὑπερασπίζω τὴν ὑπόθεσίν μου ἐν τῷ δικαστηρίῳ, Λυσ. παρ' Ἁρποκρ., πρβλ. καὶ Σουίδ. ἐν λέξει, ὁ δὲ Ἡσύχ. ἑρμηνεύει: «αὐτομαχεῖν· αὐτοδικεῖν».

Αὐτομέδων, οντος, ὁ, ὁ αὐτὸς ἑαυτὸν κυβερνῶν, ὄνομα τοῦ ἡνιόχου τοῦ Ἀχιλλέως, Ἰλ. — κλητ. ὦ **Αὐτόμεδον**, ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 157.

αὐτο-μέλαθρος, ον, ὁ τῆς αὐτῆς οἰκίας, Νόνν. Δ. 48. 519.

Αὐτο-μέλιννα, ἡ, αὐτὴ ἡ Μέλιννα, ἀπαράλλακτος, Ἀνθ. Π. 6. 353.

αὐτο-μεμφής, ές, ὁ ἑαυτὸν μεμφόμενος, Βυζ.

αὐτομεμφία, ἡ, τὸ ἑαυτὸν μέμφεσθαι, Ἰω. Κλίμ. σ. 294.

αὐτομέριμνος, ον, ὁ περὶ ἑαυτοῦ μεριμνῶν, Ἰω. Κλίμ. 5. 2.

αὐτο-μετοχή, αὐτὴ καθ' ἑαυτὴν ἡ μετοχή, Δ. Ἀρεοπ. π. Θ. Ὀνομ. 5. 5, σ. 225, 226.

αὐτο-μῆκος, τό, αὐτὸ τὸ μῆκος, διάφ. γραφ. ἐν Ἀριστ. Τοπ. 6. 6, 4, Ἰάμβλ.

αὐτομηνί, ἐπίρρ., τὸν αὐτὸν μῆνα, Ἀττικ. παρ' Εὐσ. Εὐαγγ. Πρ. 796D.

αὐτο-μήνῦτος, ον, «ὁ αὐτὸς ἑαυτὸν καταμηνύων» Α. Β. 29. 6.

